www.tezaurliturgic.ro

# ΜΑΪΟΣ 13ΗΝ

## ΜΝΗΜΗΝ ΕΠΙΤΕΛΟΥΜΕΝ ΤΗΣ ΑΓΙΑΣ ΕΝΔΟΞΟΥ ΠΑΡΘΕΝΟΜΑΡΤΥΡΟΣ ΓΛΥΚΕΡΙΑΣ ΤΗΣ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

### Ἐν τῷ Μικρῷ Ἑσπερινῷ

*Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.*

*Ἦχος α΄. Πανεύφημοι μάρτυρες*

Παρθένον ἀκήρατον ἡ σὴ ἔφεσις πρὸς Κύριον, ὁλοσχερῶς σὲ ἀνέδειξεν, ὁ δὲ διάπυρος, εὐσεβείας ἔρως, μάρτυρα ἀήττητον παθῶν σε, τῆς ζωῆς ἀπειργάσατο· ὅθεν ἀμφότερα τῷ σῷ αἵματι σφραγίσασα Γλυκερία τῷ λόγῳ συνήρμοσαι.

Ἀγάπῃ τρωθεῖσα τοῦ Χριστοῦ, Γλυκερία πάνσεμνε, φθορᾶς τὴν ὕλην ἐμίσησας, καὶ ἐγεώργησας, πίστει ὡς ἀρότρῳ μαρτυρίου στάχυας καὶ δύναμιν παντοίων ἰάσεων, δι' ἧς διώκονται τῶν σωμάτων τὰ ἀλγήματα καὶ ὀδύναι καρδιῶν ἑκάστοτε.

Τὴν πέτραν ποθοῦσα τῆς ζωῆς, ὕδωρ τὸ ἀλλόμενον ἐν τῇ καρδίᾳ ἐκέκτησο, διὸ καὶ ἔστηκας μέσον τοῦ σταδίου ὡς πηγὴ θεόβρυτος, βασάνων τὰς ὁρμὰς κατακλύζουσα καὶ καταρδεύουσα τοὺς πιστῶς σοι προσοινέχοντας. Γλυκερία νύμφη τοῦ Παντάνακτος.

Ἀμνὰς καλλιπάρθενος Χριστὲ ὀπίσω σου τρέχουσα, λύκων ὁρμὰς οὐ κατέπτηξε καὶ τὴν ἐπέκτασιν τῶν πικρῶν βασάνων, ὡς οὐδὲν ἡγήσατο, θεσμοὺς τοὺς φυσικοὺς παραβλέψασα, καὶ σοὶ προσήγαγεν, ὡς ἀρώματα τὰ αἵματα Γλυκερία, ἡ σὲ ἀγαπήσασα.

**Δόξα.** Ἦχος β΄

Παρθενικῇ πεποικιλμένη χάριτι, μαρτυρικοῖς πεφοίνιξαι αἵμασι, Γλυκερία θεόνυμφε, ὡς γὰρ νεᾶνις ἔνθεος, τῷ ἐπὶ γῆς ἐκκενωθέντι, οὐρανίῳ μύ-

www.tezaurliturgic.ro


ρῳ ἀκολουθήσασα, τῶν παρ' αὐτῶν χαρισμάτων, τῇ εὐωδίᾳ δεδόξασαι· ὅθεν ἡ ὀσμὴ τῶν λειψάνων σου, ὡς ὀσμὴ ἀγροῦ πλήρους, ἐξ ὧν ἀναβλύζει ἡμῖν ἰαμάτων ἡ εὔπνοια, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν.** Τῆς Ἑορτῆς.

## Ἀπόστιχα

Ἦχος β'. Οἶκος τοῦ Εὐφραθᾶ.

Χαρίσματι νοητῷ δι' ἀρετῶν χρισθεῖσα, ἀθλήσεως τὰ μῦρα, ἁγνείας τῷ δοχείῳ τῷ λόγῳ προσενήνοχας.

ΣΤΙΧ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον...

Μύρου ζωαρχικοῦ, ἀρδείας δεξαμένη, μυρίπνοος ἐδείχθης, και μύρα Γλυκερία, ἐκβλύζεις ἐκ τοῦ τάφου σου.

ΣΤΙΣ. Μύρον ἐκκενωθὲν ὄνομά σου, διὰ τοῦτο νεάνιδες ἠγάπησάν Σε...

Χρώμασιν ἀρετῶν λαμπρῶς, πεποικιλμένη, αἱμάτων τῇ πλημμύρα πεφοίνιξαι, καὶ ἔστης ἐκ δεξιῶν τοῦ κτίστου σου.

**Δόξα.** Τριαδικόν.

Μία ἡ τοῦ πατρὸς καὶ Πνεύματος καὶ Λόγου οὐσία καὶ Θεότης ἐστὶ, δι' ἧς τὰ πάντα κρατεῖται καὶ συνέχεται.

**Καὶ νῦν.** Θεοτοκίον

Μῦρον τοῦ νοητοῦ, ἀξία μυροθήκη γεγένησαι Παρθένε, παρθένων τὰς χορείας λαμπρύνουσα τῇ δόξῃ Σου.

---

## Ἐν δὲ τῷ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ. Μετὰ τὸν Προοιμιακὸν τὸ (Μακάριος ἀνὴρ) εἰς δὲ τὸ Κύριε ἐκέκραξα. Ἱστῶμεν στίχ. ς' καὶ ψάλλομεν στιχηρὰ προσόμοια

Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσι.

Διὰ πόνων ἀθλήσεως, τῷ Δεσπότῃ νενύμφευσαι παρθενίας κάλεσι διαλάμπουσα καὶ ὥσπερ προῖκα προσήγαγες αὐτῷ παναοίδιμε, τῶν μελῶν τὴν ἐκκοπὴν καὶ τὸν βίαιον θάνατον, ὅθεν, ἔτυχες, Οὐρανίων θαλάμων Γλυκερία, δυσωποῦσα τοῦ σωθῆναι τοὺς σὲ πιστῶς μακαρίζοντας.

www.tezaurliturgic.ro



Ως ἀνδρεῖον τὸ φρόνημα, καὶ γενναία ἡ ἔνστασις, τῆς ψυχῆς σου ἔνδοξε ἐναπέφηνεν, ἐν ἀσθενείᾳ γὰρ σώματος, προθύμῳ δὲ πνεύματι, τὸν ἀρχέκακον ἐχθρὸν κατεπάτησας λέγουσα. Σὺ εἶ Κύριε, ἡ ἰσχὺς καὶ τὸ κλέος τῶν σῶν δούλων, ὁ δυνάμει ἀηττήτῳ τὸ ἰσχυρὸν τροπωσάμενος.

Οὐ λιμός, οὐδὲ κίνδυνος, ἀλγεινῶν ἡ ἐπίτασις τῆς ἀγάπης ἔνδοξε, οὐ κατίσχυσαν, Χριστοῦ χωρίσαι ἀοίδιμε, οὐ κάθειρξις βίαιος, οὐδὲ κάμινος πυρός, οὐ τῶν λίθων κατάστρωσις, ὅθεν δέδεξαι, ἐκ Θεοῦ θείαν δρόσον, Γλυκερία καὶ ἐκ γῆς καὶ τῶν γηΐνων, πρὸς τὴν ζωὴν μεταβέβηκας.

## Ἕτερα Προσόμοια.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου...

Ὅτε ηὐτομόλησας σεμνή, πρὸς τοὺς ὑπὲρ φύσιν ἀγῶνας, τοὺς τῆς ἀθλήσεως, τότε τὸ τοῦ θήλεος ἀπέρριψας ἔνδειαν, καὶ ἀνδρείῳ φρονήματι, τῶν πάντων Δεσπότην, ἄνθρωπον γενόμενον δι᾿ ἀγαθότητα, ἔναντι τυράννων ἀνόμων καθομολογήσασα πίστει, δόξης Γλυκερία κατηξίωσαι.

Ὅτε ἀφορρήτοις σε πληγαῖς, ὁ ἐχθρὸς ὑπέβαλε μάρτυς κατασπαράττων σε, τότε ἔξω γέγονας σαρκὸς καὶ αἵματος, καὶ πορφύραν ἐξύφανας, ἐκ πόνων οἰκείων, τῆς ζωῆς προσφέρουσα, σεμνὴ τὰ στίγματα· ὅθεν ἐν πυρὶ ὁμιλοῦσα καὶ ἐν φυλακαῖς καθαρθεῖσα, χερσὶ τοῦ Ἀγγέλου ἄρτον εἴληφας.

Ὅτε τῶν ἀγώνων ταῖς βολαῖς, ἔθλασας λεόντων τοῖς μύλοις μάρτυς ὡς γέγραπται, τότε θηρὸς δήγματι, χειρὶ τοῦ Κτίστου σου, τὴν ψυχήν σου τὴν ἄμωμον, σεμνὴ ἐναπέθου, ὡς θυσίαν εὔοσμον καὶ λογικὴν προσφοράν· ὅθεν καὶ τὸ θεῖον σου σκῆνος μύρων ποταμὸς ἀνεδείχθη, ὡς ἐκ παραδείσου προερχόμενος.

**Δόξα.** Ἦχος δ΄.

Ἐξέλαμψεν σήμερον τῇ Ἐκκλησίᾳ, ὡς Ἔαρ εὐφρόσυνον, ἡ τῆς καλλιμάρτυρος Γλυκερίας μνήμη. Δεῦτε οὖν ἅπαντες, πνευματικῶς εὐφρανθῶμεν· ἰδοὺ γὰρ παντοειδῶς προβάλλεται χάριτας, ἡ τοῦ Κυρίου ἀμνὰς τὴν ἁγνείαν ὡς ῥόδα, ὡς εὐωδίαν τὴν ἄθλησιν, τὰ ἰάματα ὡς νάματα, καὶ τὰ μῦρα ὡς δρόσον καὶ ἐπὶ τούτοις πᾶσι, τὴν τοῦ Πνεύματος χάριν, ὡς αὔραν ζωῆς· δι᾿ ὧν τὸν νοητὸν χειμῶνα ἐκκρουόμενοι, τῷ ἀθανάτῳ γεωργῷ τοῦ παντός, Χριστῷ βοήσωμεν. Κύριε, ταῖς τῆς ἀθληφόρου σου πρεσβείαις, τοῦ αἰωνίου ἔαρος ἡμᾶς ἀξίωσον, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν.** Τῆς ἑορτῆς.

www.tezaurliturgic.ro



(Εἴσοδος—.φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα)

## Παροιμιῶν τὸ Ἀνάγνωσμα

Υἱὲ ἄνοιγε σὸν στόμα ἐν φόβῳ Θεοῦ, καὶ κρίνε πάντα ὑγιῶς, ἄνοιγε σὸν στόμα καὶ κρίνε δικαίως, διάκρινε δὲ πένητας καὶ ἀσθενεῖς καὶ γυναῖκα. Γυναῖκα ἀνδρείαν τίς εὑρήσει ; τιμιωτέρα δὲ ἐστὶ λίθων πολυτελῶν, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστί. Θαρσεῖ ἐπ᾽ αὐτὴν ἡ καρδία τοῦ ἀνδρὸς αὐτῆς, ἡ τοιαύτη σκυλῶν οὐκ ἀπορήσει· ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ εἰς ἀγαθὰ πάντα βίον εὑραμένη ἔρια καὶ λίνον ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὐτῆς τὸν πλοῦτον καὶ ἀνίσταται ἐκ νυκτῶν, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ καὶ ἔργα ταῖς θεραπαίναις, θεωρήσασα γεωργὸν ἐπρίατο, ἀπὸ δὲ καρπῶν αὐτῆς χειρῶν κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον καὶ ἐγεύσατο ὅτι καλὸν ἐστὶ τὸ ἐργάζεσθαι καὶ οὐκ ἀποσβέννυται ὁ λύχνος αὐτῆς ὅλην τὴν νύκτα. Τοὺς πήχεις αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τὰς δὲ χεῖρας αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Στόμα αὐτῆς διήνοιξε προσεχόντως καὶ ἐννόμως καὶ τάξιν ἐστείλατο τῇ γλώσσῃ αὐτῆς ψευδεῖς ἀρέσκειαι καὶ μάταιον κάλλος γυναικὸς οὐκ ἔστι ἐν αὐτῇ· γυνὴ γὰρ συνετὴ εὐλογεῖται, φόβον δὲ Κυρίου αὐτὴ αἰνείτω, καὶ αἰνείσθω ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς.

## Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα

Τάδε λέγει Κύριος.
Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν τίς ἀναγγελεῖ ταῦτα ; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν ; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ, γίνεσθε μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς λέγει Κύριος ὁ θεὸς καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγὼ εἰμί. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος θεός, καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος, ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός, ἔτι ἀπ᾽ ἀρχῆς καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό ; Οὕτω λέγει Κύριος ὁ θεός, ὁ λυτρούμενος ὑμᾶς, ὁ Ἅγιος τοῦ Ἰσραήλ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος, ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνᾶναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. καὶ γὰρ ἐν ὄψει ἀν-

www.tezaurliturgic.ro


θρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ ὡς χρυσὸν ἐν χωνευτηρίῳ, ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς, καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῳ διαδραμοῦνται κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας, οἱ πεποιθότες ἐπ᾿ αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Εἰς τὴν Λιτὴν Στιχηρὰ Ἰδιόμελα

### Ἦχος α'.

Τὴν κατάκαρπον ἐλαίαν, τὴν ἐν τῷ Οἴκῳ Κυρίου Δαυϊτικῶς ἀναβλύζουσαν, τῆς ἀθλήσεως τὸ ἔλαιον Γλυκερίαν τὴν θεόφρονα, δεῦτε μακαρίσωμεν. Αὕτη γὰρ τῆς τοῦ κόσμου σχέσεως χωρισθεῖσα τὴν ὑπερκόσμιον εὐπρέπειαν, μαρτυρικῶς ἀνεδήσατο καὶ τῷ ἑαυτῆς νυμφίῳ παρέστη κράζουσα, Ὅλος εἶ ἐπιθυμία Κύριε, ὅλος εἶ ἐπιθυμία καὶ γλυκασμός, ὁ πρὸς ἀπαθείας ἔλαμψιν διὰ παθῶν εἱλκυσάς με. Ταῖς αὐτῆς παρακλήσεσι, παράσχου τῷ λαῷ σου Κύριε, ἄφεσιν ἁμαρτιῶν καὶ τὸ μέγα ἔλεος.

### Ἦχος β'.

Δεῦτε καὶ κατίδωμεν πάντες νεᾶνιν ἁπαλὴν καὶ ἄναλκιν, τῷ τοῦ σκότους ἄρχοντι παλαίουσαν καὶ ἀθλητικῶς ἀριστεύουσαν· ὢ τοῦ θαύματος! ἡ ἀσθενὴς τῇ φύσει, ὑπεράνω πάντων δείκνυται, ἐπιτηδείως τρυγῶσα τῆς προμήτορος τὸν πόθον. Ὄντως ἔργον τοῦ Σταυροῦ σου τοῦτο Κύριε, δι᾿ οὗ ἐπήγασας ἡμῖν ζωὴν τὴν αἰώνιον.

### Ἦχος γ'

Τὴν ἀθληφόρον Χριστοῦ, ἧς ἡ ὀσμὴ ὑπὲρ πάντα τὰ ἀρώματα, συνελθόντες τιμήσωμεν, ὡς γὰρ κλῆμα τῆς ἀληθινῆς ἀμπέλου ἀφθαρσίας βότρυας ἐξήνεγκεν, ἐξ ὧν διὰ τῶν τῆς ἀθλήσεως ληνῶν, τῶν μύρων τὰ ρεύματα ὡς τρυφῆς χειμμάρους ἐξέβλυσαν, καὶ ἐλάμπρυναν τοὺς κράζοντας. Γλυκερία παρθενομάρτυς πολύαθλε, τῆς τῶν παθῶν σχέσεως ἡμᾶς λύτρωσαι, καὶ κατάρδευσον ἡμᾶς ταῖς τῶν μύρων ποιότησιν.

### Ἦχος δ'

Τίς μὴ θαυμάσει; ἢ τίς μὴ ἐκπλαγῇ, Γλυκερίας τῆς καλλιμάρτυρος, τὴν ὑπερφυᾶ ἀνδρείαν; Αὕτη γὰρ ἡ πανεύφημος, τῶν τῆς φύσεως ἐκλαθομένη ὅρων, ἐναντίων παρανόμων Χριστὸν ὡμολόγησεν· ὅθεν τὸ γαιῶδες

www.tezaurliturgic.ro


σαρκίον ταῖς βασάνοις ἀναλώσασα, τὴν ψυχικήν, ἀκρόπολιν, ἀνάλωτον ἔδειξε, καὶ ταῖς τῆς ἀπάτης ἑλεπόλεις ἠδάφισε· νῦν δὲ τοῦ μακαρίου τέλους τυχοῦσα τῷ ἀθανάτῳ νυμφίῳ σὺν ταῖς φρονίμοις παρίσταται παρθένοις, καὶ ἡμῖν αἰτεῖται, ἱλασμὸν ἁμαρτιῶν καὶ τὸ μέγα ἔλεος.

**Δόξα.** Ἦχος πλ. β'

Μαρτυρικὴν πλουτίσασα ἰσχύν, εἰδωλικὴν ἀνέστειλας φορὰν καὶ τῶν αἱμάτων μὲν τοῖς ῥείθροις, τῆς παρθενίας τὴν βύσσον, λαμπροτέραν ἀπειργάσω· τῶν δὲ μύρων ταῖς ἐκβλύσεσι, τὰ ψυχοφθόρα πάθη ἀπήλασας· ἐξ ὧν καὶ ἡμᾶς διάσωζε, ταῖς πρὸς Θεὸν ἱκεσίαις σου, Γλυκερία καλλιπάρθενε.

**Καὶ νῦν.** Τῆς Ἑορτῆς

Εἰς τὸν στίχον στιχηρὰ προσόμοια

Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν...

Χαίροις Παρθενομάρτυς Χριστοῦ, ἡ τῷ ἐλαίῳ τῶν ἀγώνων πιάνασα, τὸν λύχνον τὸν τῆς ἁγνείας καὶ τοῦ ἀΰλου φωτὸς ἐκδιηγουμένη δόξαν ἄρρητον, Σταυροῦ γὰρ τῇ χάριτι σφραγισθεῖσα αὐτόκλητος, Μάρτυς παρέστης, τῷ ἀνόμως δικάζοντι, καὶ τὴν σάρκωσιν τοῦ Σωτῆρος κατήγγειλας· ὅθεν βασάνων χείμαρροι, οὐδόλως ἐσάλευσαν τὴν τῆς ψυχῆς σου οἰκίαν ἐκ τοῦ θεμέθλου τῆς πίστεως, δι ἧς ἠξιώθης τῆς ἀφθάρτου, Γλυκερία, μακαριότητος.

ΣΤΙΧ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι...

Χαίροις περιστερὰ λογική, ἡ τῷ ἄλσει τῆς ὡραίας ἀθλήσεως, φωνήσασα θεοφθόγγως τοῦ σοῦ νυμφίου Χριστοῦ, κλῆσιν ἐξ ἧς δρόσος ζωῆς πρόεισι· διὸ καὶ τὰ θήρατρα, διαδρᾶσα τοῦ δράκοντος, ἀνεκουφίσθης ταῖς παγχρύσοις σου πτέρυξι, καὶ κατέπαυσας καλιὰν πρὸς Οὐράνιον, ἔνθα περιχορεύουσα, καρποὺς τῶν καμάτων σου, περιχαρῶς δρεπομένη μὴ διαλείπῃς πρεσβεύουσα, σεμνὴ Γλυκερία, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

ΣΤΙΧ. Μῦρον ἐκκενωθὲν ὄνομά σου, διὰ τοῦτο νεάνιδες ἠγάπησάν Σε...

Χαίροις ἡ νοητὴ λαμπηδών, ἡ μυροθήκη τῶν χαρίτων τοῦ Πνεύματος, τὸ σκεῦος τῆς ἀφθαρσίας, ὁ πανευώδης λειμών, ἐν ᾧ λεπταὶ αὖραι διαπνέουσι· δραμοῦσα ὀπίσω γάρ, τῆς ὀσμῆς τοῦ νυμφίου σου, ἠγαλλιάσω ταῖς εὐπνόοις ὁρμήμασι, καὶ κατήρδευσαι, ὄντως πόλις ὡς ἔμψυχος. Ὅθεν ἐκ τῶν λειψάνων σου, τῶν μύρων ἡ ἔκβλυσις, ὥσπερ θεόβρυ-

www.tezaurliturgic.ro



τον νάμα, τῆς Ἐκκλησίας τοὺς αὔλακας ἐνθέως μεθύσκει, Γλυκερία, καὶ διώκει πταισμάτων βόρβορον.

**Δόξα.** Ἦχος πλ. δ΄.

Ἡ τῶν ἀγώνων σου ἔλλαμψις, τὴν ἐκκλησίαν ἐφαίδρυνε, Γλυκερία πανένδοξε· σὺ γὰρ τῆς εὐσεβείας τὴν γνῶσιν ἀθλητικοῖς καμάτοις διετράνωσας· Ὅθεν τῆς τοῦ Χριστοῦ ἀγάπης σε, οὐ νεότητος ἄνθος, οὐ βασάνων ἀπειλαί, οὐδὲ θανάτου ψῆφος, οὐδόλως χωρίσαι ἴσχυσαν· ἀνθ' ὧν τῆς ἀνωλέθρου κατηξιώθης τρυφῆς, ὡς παρθένος φρονίμη, καὶ μάρτυς ἀήττητος, καὶ πρεσβεύεις ἀπαύστως Κυρίῳ ὑπὲρ τῶν πίστει τιμώντων, τὴν μακαρίαν σου ἄθλησιν.

**Καὶ νῦν.** τῆς Ἑορτῆς

Νῦν ἀπολύεις, τὸ τρισάγιον καὶ τὸ Ἀπολυτίκιον

Ἦχος γ΄. Τὴν ὡραιότητα...

Τὴν καλλιπάρθενον, Χριστοῦ τιμήσωμεν, τὴν ἀριστεύσασαν, πόνοις ἀθλήσεως καὶ καθελοῦσαν τὸν ἐχθρὸν ἐν ἀσθενείᾳ σώματος· πόθῳ γὰρ τοῦ Κτίσαντος τῶν βασάνων τὴν ἔφοδον ὡς οὐδὲν ἡγήσατο, καὶ θεόθεν δεδόξασται πρὸς ἣν ἀναβοήσωμεν πάντες χαίροις θεόφρον Γλυκερία.

**Δόξα.** τὸ αὐτὸ—**Καὶ νῦν.** τῆς ἑορτῆς

ΑΠΟΛΥΣΙΣ

---

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

μετὰ τὴν α΄. στιχολογίαν Κάθισμα

Ἦχος α΄. Τὸν τάφον σου Σωτὴρ

Ὡς ἔαρ νοητόν, καὶ ὀσφράδιον θεῖον, ἐπέφανεν ἡμῖν Γλυκερίας ἡ μνήμη, πιστοὺς κατευφραίνουσα, ταῖς τῶν ἄθλων λαμπρότησι καὶ ἐξαίρουσα, ἐκ τῆς τοῦ κόσμου ἰλύος ταῖς μεθέξεσι τῶν ἱερῶν αὐτῆς μύρων ἡμῶν τὴν διάνοιαν.

**Δόξα.** Ὅμοιον

Ὢ θαῦμα! πάντα νοῦν ἀληθῶς καταπλῆττον, πῶς κόρη εὐανθής, πῶς νεᾶνις ὡραία, τοῦ κόσμου τὰ θέλγητρα ὑπερεῖδε καὶ ἔφερεν, ὥσπερ

www.tezaurliturgic.ro



ἄσαρκος ταῖς τῆς σαρκὸς ἀλγηδόναις, ἀλλ' ἡ ἔρωτι τοῦ Οὐρανίου νυμφίου, ᾧ πίστει νενύμφευται.

**Καὶ νῦν.** τῆς ἑορτῆς

Μετὰ τὴν β' στιχολογίαν. Κάθισμα.

Ἦχος γ'. Τὴν ὡραιότητα...

Οἱ τῶν αἱμάτων σου κρουνοὶ πολύαθλε, θαυμάτων ρεύματα καὶ δρόσον ρεύσεως, καὶ ἰαμάτων γλμκασμὸν βλυστάνουσα τοῖς πέρασι· σὺ γὰρ τὴν εὐπρέπειαν τοῦ Σωτῆρος ποθήσασα, δύναμιν ἠμφίεσαι κατ' ἐχθρῶν δι' ἀθλήσεως, διὸ καὶ Οὐρανίων θαλάμων κατηξιώθης, Γλυκερία.

**Δόξα.** τὸ αὐτὸ **Καὶ νῦν.** τῆς ἑορτῆς

Μετὰ τὸν Πολυέλεον Κάθισμα

Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ λόγον

Η τοῦ κόσμου λιποῦσα τὸν συρφετόν, ἐπτερώθης τῷ πόθῳ τῶν ἀγαθῶν ἐντεῦθεν ἠριστεύσας ἀνδρικοῖς ἀγωνίσμασι, καὶ τοῦ ἐχθροῦ τὴν κάραν, ὡς κόνιν ἐλέπτυνας πυρός τε καὶ σιδήρου ὁρμὴν ἀπαμβλύνασα, ὅθεν ἀναβλύζεις ἰαμάτων τὰ ρεῖθρα, καὶ μύρων τὰ ρεύματα, εἰς ψυχῶν περιποίησιν, Γλυκερία πολύαθλε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμη σου.

**Δόξα καὶ νῦν.** Τῆς ἑορτῆς.

Τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου καὶ τὸ Προκείμενον.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

ΣΤΙΧ. Καὶ ἔστησεν ἐν εὐρυχώρῳ τοὺς πόδας μου..

ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΜΑΡΚΟΝ

Τῷ καιρῷ ἐκείνῳ, ὄντος τοῦ Ἰησοῦ ἐν Βηθανίᾳ.....

(Ζήτει τῇ Παρασκευῇ τῆς 17ης ἑβδομάδος τοῦ Λουκᾶ)

Ὁ Ν'. Δόξα. Ταῖς τῆς Ἀθληφόρου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου

Ἰδιόμελον ἦχος πλ. Β'

ΣΤΙΧ. Ἐλέησόν με ὁ Θεός . . . .

Σήμερον ἡ τῷ ὡραίῳ Νυμφίῳ ἀφιερωθεῖσα Γλυκερία ἡ καλλίπαις, τὸν τῆς ἀθλήσεως δρόμον περάνασα, πρὸς οὐρανίους χωρεῖ παστάδας, Ἄγγελοι τὸ καθαρώτατον αὐτῆς πνεῦμα ἀναλαμβάνουσι. Ἄνθρωποι τὸ

www.tezaurliturgic.ro


ἐκ τοῦ πολυάθλου αὐτῆς σκήνους, ἐκβλύζον μῦρον ὡς ἁγιασμοῦ παρεκτικὸν ἀρύονται βοῶντες: ὁ δὲ ἀσθενείας παθῶν τὴν τῶν βροτῶν οὐσίαν ἐνισχύσας Κύριε, ταῖς τῆς Ἀθληφόρου σου πρεσβείαις δώρησαι ἡμῖν τὰ ἐλέη σου.

Εἶτα οἱ κανόνες, πρῶτος τῆς τυχούσης ἑορτῆς.

Εἰς στ´ καὶ τῆς Ἁγίας εἰς η´

Κανὼν πρῶτος τῆς Ἁγίας οὗ ἡ ἀκροστοιχίς.

## Γλυκερίαν ἔρεισμα πίστεως μέλπω Γ.Μ.Μ.

Ὠδὴ α´. Ἦχος α´. Σοῦ ἡ Τροπαιοῦχος δεξιά.

Γνώσεως τῆς θείας τὰς αὐγὰς καταπεμφθῆναι μοι μάρτυς ἱκέτευε, ὅπως ἀνυμνήσω σου τὰ ὑπὲρ πίστεως θεῖα παλαίσματα, δι᾽ ὧν Γλυκερία Χριστῷ τῷ Λόγῳ νενύμφευσαι.

Λύχνος τοῖς ποσίν σου ἀληθῶς, τὸ τοῦ Σωτῆρος γεγένηται πρόσταγμα· ὅθεν τὴν λαμπρότητα τῆς παρθενίας θεόφρον ἠμφίεσαι, καὶ Χριστῷ τῷ Λόγῳ μαρτυρικῶς ἠκολούθησας.

Ὑψωσας τὸν νοῦν σου ἀκλινῶς προσομιλοῦσα ποικίλαις κολάσεσι πρὸς τὸν μόνον Ὕψιστον καὶ τοῦ ἐχθροῦ τὰς ἐπάρσεις κατέρραξας καὶ τὴν ἧτταν Μάρτυς τῆς σῆς Προμήτορος ὤρθωσας.

Θεοτοκίον

Κρήνη ἐξ ἧς ἐπήγασας ἡμῖν τὸ ὑπερούσιον νάμα γεγένησαι, οὗπερ ἐμφορούμενοι, τῶν νεανίδων χοροὶ ἠκολούθησαν ὀπίσω σου Κόρη, τῷ Υἱῷ προσαγόμενοι.

Κανὼν δεύτερος

Ἦχος β´. Δεῦτε λαοί.

Τῶν ἀρετῶν σήμερον καὶ τῶν θαυμάτων αὐτῆς, τὸν μυστικὸν πληρώσασα, κρατῆρα ἅπαντας, Γλυκερία ἡ μάρτυς, ὡς πόσιν εὐφροσύνης πιστοὺς προσκέκληται.

Μαρτυρικαῖς ἠγλαϊσμένη λαμπρότησι, τῷ καθαρῷ παρίστασαι Μάρτυς νυμφίῳ σου, ψυχοφθόρων πταισμάτων αἰτοῦσα λυτρωθῆναι τοὺς σὲ γεραίροντας.

Πρὸς αἰκισμούς, πρὸς ἀλγηδόνας, πρὸς μάστιγας πολυειδῶς ἀπτόητος Μάρτυς ἐχώρησας, συνεργοῦσαν γὰρ εἶχες τοῦ Πνεύματος τὴν χάριν καὶ συναρήγουσαν.

www.tezaurliturgic.ro


Θεοτοκίον

Γνῶσιν Θεοῦ ἅπαντες κατεπλουτήσαμεν καὶ ἐπιγνόντες Δέσποινα, Σὲ Θεομήτορα καὶ Κυρίαν τιμῶμεν, τοῖς προστάγμασι τοὺς λόγους ἐπισφραγίζοντες.

Καταβασίας ψάλλομεν τῆς τυχούσης ἑορτῆς

Ὠδὴ γ'. Ὁ μόνος εἰδὼς...

Ἐπέστης αὐτόκλητος σεμνή, τοῖς παρανόμοις κράζουσα τοῖς μὴ ζητοῦσι με ἰδοὺ πάρειμι, Χριστὸν κηρῦξαι Θεὸν καὶ Κύριον, ᾧ καὶ πίστει ἔκραξες : Ἅγιος εἶ Κύριε, ὁ ἀνείκαστος ἐν ἀγαθότητι.

Ρημάτων τῶν θείων τὴν ἰσχὺν ὡς θώρακα κατέχουσα, τῶν λίθων ἔφερες τὰ προσκρούσματα καὶ τὴν λιθώδη καρδίαν ᾔσχυνας τοῦ τοῖς λίθοις νέμοντος, σέβας ἀλογώτατον, Γλυκερία Χριστοῦ καλλιπάρθενε.

Ιλύος ῥυσθεῖσα γεηροῖς τῷ πόθῳ τοῦ νυμφίου σου, εὐωδιάσθης μύρῳ τῆς χάριτος καὶ ὥσπερ νάρδον καὶ μῦρον εὔοσμον τῷ Χριστῷ προσήγαγες, Μάρτυς τοὺς καμάτους σου καὶ μυρίζεις ἡμῶν τὰ νοήματα.

Θεοτοκίον

Ἁγίων ὁ Ἅγιος ἐν σοὶ σκηνώσας ὡς ηὐδόκησεν ἁγιασμὸν τῇ παρέσχετο καὶ Γλυκερίας Ἁγνὴ τὰ αἵματα εἰς μύρα, ἐν οἷς ὁ παμβέβηλος ἀπεπνίγη ἐχθρός, θεονύμφευτε.

Δεύτερος, Στερέωσον ἡμᾶς

Τὰ αἵματα Χριστῷ ὥσπερ ἀρώματα καὶ μῦρα κομίσασα Ἀθληφόρε, εὐωδία προσηνέχθης αὐτῷ, πλημμυροῦσα τοῖς πᾶσι τὰ ἰάματα.

Εὐφράνθη νοητῶς ἐν τοῖς ἀγῶσι σου Μαρτύρων καλλώπισμα ὁ Δεσπότης εὐφροσύνην, ὅθεν θείαν σε, τῶν πιστῶν ταῖς καρδίαις ἐπεβράβευσεν.

Ὡς ἄσαρκος τοὺς πόνους τῆς ἀθλήσεως γενναίως ἐνέγκασα Γλυκερία, τῶν Ἀγγέλων τὴν εὐπρέπειαν φυσικῇ ἀντεκτήσω ὡραιότητι.

Θεοτοκίον

Ἐρράγη τῆς ἀρᾶς θεοχαρίτωτε, τὸ πάλαι μεσότοιχον καὶ ἡ ἔχθρα ἐξηφάνισται τῷ τόκῳ σου καὶ Ἀγγέλοις συνήφθημεν οἱ ἄνθρωποι.

Κάθισμα ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ

Τῶν νοουμένων τὸ τερπνὸν προορῶσα, τῶν ὁρωμένων τὸ ῥευστὸν παριδοῦσα, ταῖς θεϊκαῖς ὠχυρώσας ἐλπίσι τὸν νοῦν· ὅθεν πρὸς τὸ στάδιον

www.tezaurliturgic.ro


τῆς ἀθλήσεως Μάρτυς, χαίρουσα εἰσέδραμες καὶ τὸν ὄφιν καθεῖλες καὶ ἀνεπλέξω νίκης, εὐπρεπῆ, ὦ Γλυκερία, καὶ ἄφθαρτον στέφανον.

Δόξα, καὶ νῦν. Τῆς Ἑορτῆς

Ὠδὴ δ'. Ὄρος σε τῇ χάριτι...

Νύμφη πανακήρατος ὀφθεῖσα τοῦ Κτίσαντος, τούτου τὴν νέκρωσιν, σεμνή, ὡς ζωηφόρον θησαυρὸν ἐμφρόνως ἠγάπησας, καὶ ὥσπερ προῖκα αὐτῷ προσενήνοχας τῶν σῶν μελῶν, Γλυκερία, τὴν στρέβλωσιν.

Εἵλκυσάν σε, πάνσεμνε, ὀσμαὶ τοῦ νυμφίου σου, ὅθεν βασάνων ταῖς ποιναῖς καθωραΐσθης εὐπρεπῶς καὶ μύροις δεδόξασαι ὡς ἀρωμάτων φιάλη τοῦ Πνεύματος ἀφθαρσίας πολύτιμος.

Ρεύσαντες οἱ ῥύακες τῶν θείων αἱμάτων σου τῆς ἀσεβείας τὴν πυρὰν πᾶσαν κατέσβεσαν, σεμνή, πιστοῖς δὲ ἀνέβλυσαν δικαιοσύνης μυρίπνοα νάματα καὶ ἰαμάτων τὰ μῦρα ἐν πνεύματι.

Θεοτοκίον

Ἐν σοὶ ὑπὲρ ἔννοιαν τὸ μῦρον κεκένωται τὸ ζωηφόρον ἀληθῶς, Παρθενομῆτορ Μαριάμ, καὶ σκότους κακώσεων, πρὸς εὐωδίαν χαρίτων αἰώνιον τὴν Γλυκερίαν λαμπρῶς ἐκυβέρνησε.

Δεύτερος. Εἰσακήκοα Κύριε τὴν ἀκοήν Σου.

Τῶν παθῶν ἀποκτείνασα τοὺς ἀοράτους θῆρας Γλυκερία, ὁρωμένους θῆρας οὐκ ἐδειλίασας.

Ὃν ἐκήρυττες Κύριον πρὸ ὀφθαλμῶν ὁρῶσα, ἀθληφόρε, ὑπερεῖδες πάντων τῶν αἰσθήσεων.

Ὡς ἀστὴρ ἀνατέταλκας τοῖς ἐν νυκτί, σεμνή, τῆς ἀγνωσίας, καὶ τῆς ἀληθείας τὸ φέγγος ἤστραψας.

Θεοτοκίον

Οἱ προστάτιν σε Δέσποινα καὶ τῆς ψυχῆς, Παρθένε, προσδοκίαν, εὐσεβῶς πλουτοῦντες οὐκ αἰσχυνθήσονται.

Ὠδὴ ε'. Ὁ φωτίσας τῇ ἐλλάμψει.

Ἰταμότητι τυράννου ξεσθεῖσα τὰς σάρκας σου ἀπεβάλου ἐν ἀνδρείᾳ τῆς ὕλης τὸ κάλυμμα καὶ τῆς ἀπαθείας τὴν στολὴν ἐνθέως ἐκδύσω, Παρθενομάρτυς, πολύαθλε.

www.tezaurliturgic.ro


Συνημμένη δι᾽ ἀγάπης, Χριστῷ τῷ Νυμφίῳ σου τὴν εἱρκτὴν ὥσπερ παστάδα φωτοφόρον κατῴκησας, καὶ Ἀγγέλου, Μάρτυς, ταῖς χερσὶν ἐξ οὐρανοῦ ἐδέξω ἄρτον καὶ ὕδωρ ὡς ἄσαρκος.

Μυροθήκη παρθενίας ὡράθης, θεόνυμφε, ἐν ᾗ ἔρρευσαν πλουσίως αἱ θεῖαι ἐνέργειαι καὶ τὰς ἐνεργείας τῶν παθῶν, τῶν μύρων τῇ ἐκβλύσει διαπαντὸς κατακλύζουσι.

Θεοτοκίον

Ακατάφλεκτόν σε βάτον Μωσῆς προεώρακεν, ἐν ᾗ ᾤκησεν ἀφλέκτως τὸ πῦρ τῆς θεότητος καὶ πυρὶ ἀγώνων ἱερῶν μετέβαλεν εἰς μῦρα τῆς Γλυκερίας τὰ αἵματα.

Δεύτερος. Ὁ φωτισμός.

Φόβον Θεοῦ ἐν γαστρὶ διανοίας εἰσδεξαμένη πνεῦμα σωτηρίου ὁμολογίας καὶ μαρτυρίου ἔτεκες, γενναιόφρον, παραδόξως στερρῶς ἀθλήσασα καὶ τὰς ἐναντίας ἀρχὰς θριαμβεύσασα.

Σοῦ τὸ σεπτὸν καὶ μακάριον πάθος ἐκμιμουμένη ἡ δι᾽ ἀπαθείας σοὶ συναφθεῖσα, πάσχει προθύμως ἐν πυρὶ βεβλημμένη, Ζωοδό.α Χριστέ, κραυγάζουσα: Ἕτερον ἐκτὸς Σοῦ Θεὸν οὐκ ἐπίσταμαι.

Ο θεῖκὸς τῆς ἁγνῆς σου καρδίας κρατήσας ἔρως τῆς σαρκὸς ἀπήμβλυνε τὰς ὀρέξεις καὶ εὐτονωτέραν πυρὸς καὶ σιδήρου σὲ ἀναδείκνυσι κράζουσαν: Σὺ εἶ Ζωοδότα ἰσχύς μου καὶ ὕμνησις.

Θεοτοκίον

Η φωτεινὴ τοῦ ἡλίου νεφέλη λάμψον μοι αἴγλην λύουσαν τὸν ζόφον τῆς ἁμαρτίας· δίδου μοι χεῖρα καὶ πεσὼν ἐν τῷ βόθρῳ, Θεοτόκε, ἔγειρον, μόνη τοῦ πεσόντος Ἀδὰμ ἡ ἀνάκλησις.

Ὠδὴ στ΄. Ἐκύκλωσεν ἡμᾶς.

Παράδεισος εὐώδης καὶ ἀσύλητος ἡ θήκη τῶν λειψάνων σου, ὁρᾶται, Γλυκερία, τοῖς πιστοῖς, ἐξ οὗ ὀσμὴν ζωῆς σαφῶς καρπούμεθα, καὶ τὴν τοῦ θανάτου ἐκκλίνωμεν.

Ιερεύσας τῷ Λόγῳ δι᾽ ἀθλήσεως, Παρθένε, τὸν ἁγνείαν σου, καὶ τὰς τῶν μελῶν σου ἐκκοπὰς τούτῳ ὡς θυμίαμα προσήγαγες· ὅθεν χαρᾶς ἀδιαδόχου ἠξίωσαι.

www.tezaurliturgic.ro


Σοφίᾳ καὶ συνέσει διαλάμπουσα ἀνδρείως ἠνδραγάθησας καὶ τὸν ἐν κακίᾳ ἰσχυρόν, ἀσθενείᾳ φύσεως κατέβαλες, καὶ τὴν ἰσχὺν τῆς ἀληθείας ἐνέφηνας.

Θεοτοκίον

Τὴν πύλην τοῦ Θεοῦ τὴν ἀδιόδευτον δι' ἧς βροτοῖς ὡμίλησεν ὁ Λόγος ὁ τὰ πάντα στερεῶν ποθοῦσα, Γλυκερία καλλιπάρθενε, τῷ Ἰησοῦ μαρτυρικῶς προσενήνεξαι.

Δεύτερος. Ἐν ἀβύσσῳ πταισμάτων.

Λαμπρυνθεῖσα τῇ αἴγλῃ τοῦ Πνεύματος καὶ τῆς καθαρότητος ταῖς ὡραιότησι κεκοσμημένη, ἔνδοξε, τῷ Δεσπότῃ Χριστῷ νῦν παρίστασαι.

Τὸν καλὸν ὄντως ἆθλον ἀνύσασα, καὶ τῆς εὐσεβείας τὸν δρόμον τελέσασα, δικαιοσυνης εἴληφας ἐκ Θεοῦ τὸν ἐπάξιον στέφανον.

Πολυτρόποις βασάνοις ἐξήνθησας τὴν τῆς ἀναστάσεως, σεμνή, λαμπρότα· Χριστὸν γὰρ ἀγαπήσασα, ἀπεκρούσω τοὺς ὅρους τῆς φύσεως.

Θεοτοκίον

Γνωστικὴν εὐφροσύνην γινώσκων σε, Πάναγνε, παθῶν τῆς ἀγνοίας τὸ κάλυμμα ταῖς σαῖς πρεσβείαις, Δέσποινα, ἀποτίθεμαι. Δόξα τῷ κράτει σου.

Κοντάκιον ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Τὴν Παρθένον στέργουσα καὶ Θεοτόκον Μαρίαν, διετήρεις ἄφθορον τὴν σεαυτὴν παρθενίαν, πόθῳ δὲ καρδιωθεῖσα τῷ τοῦ Κυρίου ἤθλησας ἀνδρειοφρόνως μέχρι θανάτου· διὰ τοῦτο, Γλυκερία, διπλῷ στεφάνῳ σὲ στέφει ὁ αὐτὸς Χριστὸς ὁ Θεός.

## Ο ΟΙΚΟΣ

Ὁλοσχερῶς ἀνακειμμένη Κυρίῳ πάσης κηλῖδος ἐξένωσαι τῶν ἐνύλων· καὶ τῆς παρθενίας γὰρ ποτήσασα τὴν ἄρουραν τοῦ μαρτυρίου στάχυας ἤνεγκας· ἀνδρεῖον γὰρ φρόνημα ἀναλαβοῦσα καὶ πρὸς ἀγῶνας αὐτομολοῦσα τοῖς ἀσεβέσιν ἐβόα, Χριστὸς ἐστὶ μόνος Θεὸς σὺν Πατρὶ καὶ Πνεύματι, ὁ φῶς οἰκῶν ἀπρόσιτον, καὶ σκότους τὸν κόσμον ῥυσάμενος· διὸ τοὺς σοὺς καμάτους προσδεξάμενος, διπλῷ στεφάνῳ, Γλυκερία, σὲ στέφει ὁ αὐτὸς Χριστὸς ὁ Θεός.

www.tezaurliturgic.ro


# ΣΥΝΑΞΑΡΙΟΝ

Τῇ ιγ'. τοῦ αὐτοῦ μηνός.
Μνήμη τῆς Ἁγίας Μεγαλομάρτυρος Γλυκερίας τῆς μυροβλύτιδος.
Στίχοι. Θηρὸς τὸ πικρὸν δῆγμα τῇ Γλυκερίᾳ
Ὑπὲρ γλυκάζον ὡς ἀληθῶς ἦν μέλι.
Ἐν τριτάτῃ δεκάτῃ δάκε καὶ κτῆνε θὴρ Γλυκερίαν.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Σεργίου τοῦ ὁμολογητοῦ.

Στίχ. Ὁ Σέργιός μοι πῶς τελευτᾶς τὸν βίον;
Κοινῷ τέλει τέθνηκα καὶ ζῶν εἰμί σοι.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Παυσικκάκου, ἐπισκόπου Συννάδων.

Στίχ. Ὁ Παυσικκάκου προστρέχων τῷ λειψάνῳ.
Παθῶν κακούντων παῦσιν εὑρήσει ξένην.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Σὲ νοητήν.

Ἵνα ζωῆς ἀναδήσῃ στέφανον Μάρτυς ἐκ δωρεᾶς τῆς δορᾶς, σεμνή, τῆς κεφαλῆς φέρεις τὴν ἀφαίρεσιν καὶ τοῦ πολεμήτορος τὴν κεφαλὴν καταβέβληκας, τὸν αἰνετὸν ἀνυμνοῦσα Θεὸν ὑπερένδοξον.

Ὡς Ἀερμὼν μυστικόν, πολύαθλε, δρόσον ὀμβρίζεις δωρεῶν καὶ καθάπερ σύμβολον γλυκασμοῦ μύρων τὰ ὁρμήματα ὡς μέλι χρηστότητος ἀναπηγάζεις τοῖς μέλπουσι· ὁ αἰνετὸς τῶν πατέρων Θεὸς καὶ ὑπερένδοξος.

Σὲ ἐν πυρὶ βεβλημμένην, ἔνδοξε, θεία ἐλάμπρυνε ῥοπή· ὡς γὰρ παῖδας ἔσωσε τρεῖς οὕτω καὶ σὲ ἄφλεκτον ἐν τῇ καμίνῳ ἐφύλαξεν ὁ δοξασθείς σου τοῖς μέλεσιν, ὁ αἰνετὸς τῶν πατέρων Θεὸς καὶ ὑπερένδοξος.

Θεοτοκίον

Μήτηρ Ἁγνὴ καὶ Παρθένος ἄφθορος σὺ ἐγνωρίσθης ἀληθῶς· ὁ γὰρ ὑπερούσιος Θεός, ἐκ σοῦ ἀνελάβετο ὅλον μὲ τὸν ἄνθρωπον ἄνευ φθορᾶς ὡς ηὐδόκησεν, καὶ τῶν Μαρτύρων τὰ πλήθη πρὸς ἑαυτὸν ἐπεσπάσατο.

Δεύτερος. Εἰκόνος χρυσῆς.

Τὸ κάλλος Χριστοῦ ἐν ἐσόπτρῳ νοητῷ τῷ τῆς ἁγνοίας κατανοοῦσα ἐπεπόθησας ἑαυτὴν ἐνθέως, ἀοίδιμε, καὶ δραμοῦσα τούτου ὀπίσω δι' ἀθλη-

www.tezaurliturgic.ro



σεως ἔψαλλες: Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὡραίαν στολὴν τῶν αἱμάτων ταῖς βαφαῖς πεποικιλμένην, περιθεμένην καθυπέδειξας τῆς εὐσεβείας τὴν κόσμησιν πᾶσιν, Ἀθληφόρε, τοῖς πίστει ἀνυμνοῦσι καὶ ψάλλουσιν: Εὐλογητὸς εἶ ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Πυρὸς ὑλικοῦ τὴν προαίρεσιν, Παρθένε, ὀξυτέραν ταῖς πρὸς τὸν Κύριον νεύσεσι προσκτησαμένη κατέσβεσας τῇ ἀπ᾽ οὐρανοῦ προμηθείᾳ, ἣν σοι ηὐτρέπισαν κάμινον, δοξολογοῦσα φαιδρῶς τὸν τῶν Πατέρων Θεόν.

Θεοτοκίον

Ἰδοὺ σέ, Ἁγνή, πᾶσα φύσις γηγενῶν δοξολογοῦσιν, ὑπερθαυμάζοντες τὸ μυστήριον τῆς σῆς κυήσεως Ἄχραντε, καὶ χαρμονικῶς ἐκβοῶντες τῷ ἐκ σοῦ ἀνατείλαντι, εὐλογητὸς εἶ ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η΄. Ἐν καμίνῳ παῖδες.

Ἐν καμίνῳ, Μάρτυς, τοῦ πυρὸς ὡς ἐν χωνευτηρίῳ βληθεῖσα ἐλαμπρύνθης ὥσπερ δόκιμος χρυσός, βοῶσα τῷ Κτίστῃ σου: Σοῦ πυρακτουμένη τῷ φίλτρῳ, Σωτήρ μου, ὡς δρόσον εὐφροσύνης, τὴν τοῦ πυρὸς ὀδύνην γενναίως ὑπομένω.

Λάμπουσα ἁγνείας τῷ φωτὶ ἀθλήσεως ἐλαίῳ, τὴν ψυχικὴν λαμπάδα διετήρησας σαφῶς ἀνύστακτον λεγοῦσα· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ποταμὸς χαρίτων θεϊκῶν, τοῖς ῥεύμασι τῶν μύρων ὡς ὕδασιν ἐνθέοις καθωράθης ἀληθῶς τοὺς κράζοντας ἄρδουσα· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον

Ὤφθης ἐνδιαίτημα τερπνὸν καὶ πόλις φωτοφόρος, Παρθένε Θεοτόκε, τοῦ τῶν ὅλων ποιητοῦ τοὺς κράζοντας σώζουσα, χαῖρε ὁ πυρίμορφος θρόνος τοῦ Λόγου καὶ ὄρος τὸ εὐῶδες, τὸ ὑπεράνω πάντων ὀρθὲν θείων ὀρέων.

Δεύτερος. τὸν ἐν καμίνῳ τοῦ πυρός.

Τὸν τῆς ἁγνείας νοητὸν κεκτημένη ἐραστὴν Χριστὸν νυμφίον σεαυτήν, ἀθληφόρε, ἐν καθαρότητι νοῦ, καὶ πόνοις θείοις ἐκαλλώπησας καὶ τούτῳ ἡρμόσθης διὰ τοῦ μαρτυρίου.

Ἡ συντριβή σου τῶν μελῶν ἐξελέπτυνεν ἐχθρῶν μηχανουργίας, τῶν αἱμάτων ἡ ῥῦσις τῆς ἀθείας δεινοὺς χειμάρρους, σοφή, ἀπεξήρανε, πέλαγος θαυμάτων ἡμῖν ἀναδειχεῖσα.

www.tezaurliturgic.ro


Τίς οὐ θαυμάσει ἐνορῶν τοὺς μεγίστους σου καμάτους καὶ τοὺς πόνους; Ὢ! πῶς ἤνεγκας, Μάρτυς, ταῖς τῶν βασάνων ὁρμάς; ἀλλ' ἢ τοῦ Σωτῆρος τῷ ἔρωτι, ᾧ. καὶ συνδοξάξῃ χαρᾶς τυχοῦσα θείας.

Θεοτοκίον

Σῶσον, οἰκτείρησον ἡμᾶς τὸν οἰκτίρμονα Θεόν· ἀποτεκοῦσα ὑπὲρ λόγον, Παρθένε, πυρκαϊᾶς λογισμῶν, παθῶν τε ἐξαίρουσα καύσωνος ταῖς σαῖς ἱκεσίαις, ἁγνὴ Θεοκυῆτορ.

Ὠδὴ Θ'. Τύπον τῆς ἁγνῆς.

Γέρας τὸ τῆς ἄνω κλήσεως κομισαμένη, Μάρτυς, χειρὶ τοῦ Κτίσαντος ἐκ δεξιῶν τοῦ Σωτῆρος ἔστηκας, τὸ καλὸν διανύσασα στάδιον καὶ τῆς σαρκὸς λυθεῖσα θηρῶν τῷ δήγματι, πανεύφημε.

Γλεῦκος ἰαμάτων πρόεισι, καὶ ἀρωμάτων, Μάρτυς, νᾶμα οὐράνιον, ὡς ἐξ Ἐδὲμ μυστικῶς προερχόμενον ἐκ τῆς θήκης τοῦ θείου λειψάνου σου, ἐμφαῖνον, Γλυκερία, ἀθανασίας τὰς ποιότητας.

Μέλεσι τοῖς σοῖς ἐδόξασας τὸν σὲ ἐν μύροις δοξάσαντα, καλλιπάρθενε· ὅθεν καὶ νῦν, ὡς εὐῶδες θυμίαμα τὴν μικρὰν ὑμνῳδίαν μου πρόσδεξαι, καὶ μύροις σου τοῖς θείοις τὴν δυσωδίαν μου ἀπέλασον.

Θεοτοκίον

Μάννα τῆς ζωῆς, Πανάμωμε, Χριστὸς ὁ Λόγος προῆλθεν ἐκ τῆς νηδύος σου, οὗ νοητῶς μετασχοῦσα τῆς χάριτος Γλυκερία, ἐκβλύζει ἑκάστοτε ὡς μέλι τὸ ἐκ πέτρας μύρου, Παρθένε, τὴν δαψίλειαν.

Δεύτερος. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Υπεραρθεῖσα ἁπάσης σαρκικῆς προσπαθείας τῷ πόθῳ τοῦ νυμφίου σου σεμνή, ἄσαρκον βίον ἐπόθησας· διό, σὺν τοῖς ἀΰλοις, Χριστὸν τὸν ἐραστήν σου νοερῶς καθορῶσα δοξάζεις, ὡς πάντων ποθεινότερον.

Μετὰ πολλὰς τὰς βασάνους, τὸ ἀκίβδηλον πνεῦμα, Κυρίῳ παραδέδωκας τὸ σόν, οὗ τῇ ἀνόδῳ ἐκρότησαν ἐπουράνιαι τάξεις, Χριστὸς δὲ παναλκὴς δεξιᾷ ἐστεφάνωσε, Μάρτυς, νομίμως ἐναθλήσασαν.

Μαρμαρυγαῖς παρθενίας καὶ αἱμάτων τοῖς ῥείθροις λαμπρύνουσα σαύτὴν ἀθλητικῶς τῆς ἀφθαρσίας ἐτρύγησας τοὺς καρπούς, Γλυκερία, ζωῆς ἀξιωθεῖσα ἀληθοῦς· διὰ τοῦτο κινδύνων παντοίων ἡμᾶς λύτρωσαι.

www.tezaurliturgic.ro


Θεοτοκίον

Ἡ ταῖς φωναῖς καμπτομένη τῶν θερμῶς σε αἰτούντων, ἡ μόνη τῶν πιστῶν καταφυγή, σῶσον οἰκτείρησον Δέσποινα, διατήρησον βλάβης ἐκ πάσης τῶν ἐχθρῶν ἐπιβουλῆς, τοὺς ἐν πίστει καὶ πόθῳ ἀεὶ Σὲ μεγαλύνοντας.

## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ

Σαρκὶ ὑπνώσας ὡς θνητός.

Σαρκί σου Μάρτυς τοῦ Χριστοῦ τὰ πάθη ἐξεικόνισας καὶ τῆς αὐτοῦ βασιλείας κατηξιώθης, ὡς ἁγνὴ κατευφραίνεις ἅπαντας τῶν μύρων, Γλυκερία, τῷ θείῳ ραντίσματι.

Καὶ τῆς ἑορτῆς.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν στιχηρὰ Προσόμοια.

Ἦχος Πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος !

Ὢ τοῦ παραδόξου θαύματος! ἡ ἁπαλὴ τῇ σαρκί, ὡς νεᾶνις ἀκήρατος, ἀνδρικῶς κατέβαλε τῆς κακίας τὸν ἄρχοντα, καὶ τῆς ἀπάτης τοὺς βρόχους ἔλυσε, δεσμοῖς ἀγάπης τοῦ Παντοκράτορος. Ὢ! τῆς δυνάμεως, ἧς ἡ φύσις Δέσποτα! διὰ Σταυροῦ γηγενῶν ἠξίωται ὑμνολογοῦσά σε.

Ὢ τοῦ παραδόξου θαύματος! ὡς νοητὴ ἀηδὼν Γλυκερία ἡ πάνσεμνος, τοῦ δολίου δράκοντος διαδρᾶσα τὰ θήρατρα, ταῖς τῶν ἀγώνων πτέρυξιν ὕψωται, καὶ τῷ ὡραίῳ Λόγῳ προσήνεκται· ὢ! οἵας χάριτος τὰς ἐλλάμψεις εἴληφεν ἡ τοῦ Χριστοῦ νύμφη ἡ πανάμωμος, ἣν μακαρίσωμεν.

Ὢ τοῦ παραδόξου θαύματος! εὐτονωτέρα σαφῶς αἰκισμῶν καὶ στρεβλώσεων, καὶ πυρὸς δριμύτητος καὶ θηρῶν ἀγριότητος, ἡ Γλυκερία ἡ φύσει ἄναλκις δείκνυται, ὄντως ἐχθρὸν νικήσασα· ὢ! τῆς ἀτρέπτου σου, καλλιμάρτυς, στάσεως! δι' ἧς Χριστῷ πίστει εὐηρέστησας τῷ πάντων Ἄνακτι.

Ὢ τοῦ παραδόξου θαύματος! μύρων πηγὴν δαψιλῶν ὡς χρηστότητος πέλαγος, σοῦ τὸν τάφον δείκνυσι τῆς σοφίας ἡ ἄβυσσος, ἐξ οὗ χαρίτων ὀσμὴν καρπούμεθα, καὶ ἰαμάτων τρυγῶμεν δύναμιν, καὶ ὑπεκφεύγομεν, Γλυκερία, πάντοτε, τὰς τῶν παθῶν διεκχύσεις, μέλποντες τὰς ἀριστείας σου.

**Δόξα.** Ἦχος πλ. α'.

Τοῖς μαρτυρικοῖς σου σκάμμασι, θεοπρεπῶς ἐδοξάσθης, Γλυκερία καλλιπάρθενε· σὺ γάρ, τῷ πόθῳ Χριστοῦ πολυτρόπων βασάνων ἀνωτέρα

www.tezaurliturgic.ro


ἐγένου· ὅθεν ὑπὲρ ἥλιον ἔλαμψας καὶ ὑπὲρ μέλι καὶ κηρίον τὰς ψυχικὰς ἡμῶν αἰσθήσεις τοῖς μύροις σου εὐφραίνεις, καὶ πρεσβεύεις ἀπαύστως Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν.** τῆς ἑορτῆς.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

---

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ τυπικά, οἱ Μακαρισμοὶ γ'. τῆς ἑορτῆς
καὶ στ' τῆς Ἁγίας.

Ἀπόστολος. Προκείμενον.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.
Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.

Ἀδελφοί ἐνδυναμοῦσθε ἐν Κυρίῳ . . .
(Ζήτει τῇ 27ῃ Κυριακῇ)

Εὐαγγέλιον κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς, ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς.

(Ζήτει τῇ τετάρτῃ τῆς γ' ἑβδομάδος τοῦ Ματθαίου)

ΚΟΙΝΩΝΙΚΟΝ

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

ΜΕΓΑΛΥΝΑΡΙΟΝ

**Χ**αίροις καλλιπάρθενε τοῦ Χριστοῦ, ᾧ καὶ ἐνυμφεύθης ὡς νεᾶνις περικαλλής· χαίροις ἡ τὸν ὄφιν νικήσασα ἀνδρείως καὶ δόξης, Γλυκερία, τυχοῦσα κρείττονος.

**Μ**ύρον πολυσύνθετον τῷ Χριστῷ, πόνοις τῆς ἁγνείας καὶ ἀθλήσεως τῷ πυρὶ προσενεγκαμένη, θεόφρον Γλυκερία, ἐν μύροις θεοβρύτοις λαμπρῶς δεδόξασαι.

Δίστιχον

**Γ**λεύκους ζωτικοῦ ἀξίωσον, ὦ Μάρτυς,
Ἀλιτρὸν Γεράσιμον τὸν ῥαψῳδόν σου.

ΤΕΛΟΣ ΚΑΙ ΤΩ ΘΕΩ ΔΟΞΑ

www.tezaurliturgic.ro


**Τῷ αὐτῷ μηνὶ ιγ´ (13) μνήμη τῆς Ἁγίας μάρτυρος Γλυκερίας.**

Θηρὸς τὸ πικρὸν δῆγμα τῇ Γλυκερίᾳ,
ὑπεργλυκάζον ὡς ἀληθῶς ἦν μέλι ἐν τριτάτῃ
δεκάτῃ δάκε καὶ κτάνε θὴρ Γλυκερίαν.

Αὐτὴ ἦτοκατὰ τοὺς χρόνους Ἀντωνίνου τοῦ βασιλέως τοῦ εὐσεβοῦς, καὶ Σαβίνου ἡγεμόνος ἐν ἔτει141. Εὑρισκομένη κατὰ τὴν Τραϊανόπολιν, ἥτις κεῖται εἰς τὴν παραθαλασσίαν Ἀδριατικοῦ κόλπου, Τράνη κοινῶςλεγομένη. Ὅταν λοιπὸν ἐθυσίαζεν ὁ ἡγεμὼν εἰς τὰ εἴδωλα, ἡ ἁγία αὐτὴ ἔγραψεν ἐπάνω εἰς τὸ μέτωπόν της τὸν τίμιον σταυρόν, καὶ ἐπῆγεν εἰς τὸν ἡγεμόνα κηρύττουσα καὶ ὀνομάζουσαν ἑαυτὴν χριστιανήν, καὶ δούλην Χριστοῦ. Ἐπειδὴ δὲ ὁ ἡγεμὼν παρεκάλεσεν αὐτὴν νὰ θυσιάσῃ εἰς τὰ εἴδωλα, ἡ ἁγία εἰσελθοῦσα εἰς τὸν ναὸν τῶν εἰδώλων καὶ προσευχηθεῖσα εἰς τὸν Χριστὸν ἐκρήμνησεν τὸ εἴδωλον τοῦ Διὸς καὶ κατεσύντριψεν αὐτό. Οἱ δὲ ἕλληνες οἱ εὑρεθέντες ἐκεῖ ἔρριπτον μὲν πέτρας κατὰ τῆς μάρτυρος, πλήν, δὲν ἐκτύπων αὐτήν. Διὸ κρεμάσαντες τὴν ἁγίαν ἀπὸ τὰς τρίχας ἐξέσχισαν αὐτήν, ἔπειτα ἔβαλον αὐτὴν εἰς τὴν φυλακὴν καὶ δὲν τῆς ἔδωκαν οὔτε φαγητόν, οὔτε ποτὸν εἰς διάστημα πολλῶν ἡμερῶν· ἀλλὰ Ἄγγελος Κυρίου ἔφερεν τροφὴν εἰς αὐτὴν καὶ διὰ τοῦτο δὲν ἔπαθε κανὲν κακόν, ἀπὸ ὅσα ὁ ἡγεμὼν ἐστοχάζετο ὅτι θὰ πάθῃ ἀπὸ τὴν πεῖναν. Μάλιστα δὲ θαυμασμὸν καὶ ἔκπληξιν ἔλαβεν αὐτὸς καὶ οἱ σύντροφοι του, ὅτε εὗρον εἰς τὴν φυλακὴν ἀγγεῖον καὶ ψωμία καὶ γάλα καὶ νερό, ἐνῷ ἡ φυλακὴ ἦτο κλεισμένη ἀσφαλῶς, καὶ κανεὶς δὲν ἐμβῆκεν εἰς αὐτὴν διὰ νὰ τὰ φέρῃ. Μετὰ ταῦτα ἔβαλον τὴν ἁγίαν εἰς κάμινον πυρός, πεσοῦσα ὅμως δρόσος οὐρανόθεν κατέσβεσε τὸ πῦρ καὶ ἡ ἁγία ἐξῆλθεν ἀβλαβής. Κατόπιν ἐκδείραντες τὸ δέρμα τῆς κεφαλῆς της ἕως τοῦ μετώπου καὶ δέσαντες τὰς χεῖρας καὶ τοὺς πόδας της ἔρριψαν αὐτὴν πάλιν ἐντὸς τῆς φυλακῆς, κάτωθεν δὲ αὐτῆς ἔστρωσαν πέτρας.

Ἄγγελος δὲ Κυρίου καταβάς, ἔλυσε τὴν ἁγίαν ἐκ τῶν δεσμῶν καὶ ἰάτρευσε τὴν κεφαλὴν της. Ὅθεν, τὸ θαυμάσιον τοῦτο ἰδὼν ὁ δεσμοφύλαξ Λαοδίκιος ἐξεπλάγη καὶ ὁμολογήσας τὸν Χριστὸν ἀπεκεφαλίσθη, λαβὼν τοῦ μαρτυρίου τὸν στέφανον. Ἡ δὲ Ἁγία πάλιν ὡδηγήθη πρὸ τοῦ ἡγεμόνος καὶ ὑπ᾽ αὐτοῦ παρεδόθη εἰς τὰ θηρία,

www.tezaurliturgic.ro


ἵνα τὴν φάγωσιν. Ἓν δὲ ἐξ αὐτῶν ἔδηξεν αὐτὴν ὀλίγον καὶ ἐκ τοῦ τοιούτου μικροῦ δήγματος παρέδωκεν ἡ μακαρία τὴν ψυχήν της εἰς χεῖρας Θεοῦ. Τὸ δὲ ἅγιον αὐτῆς λείψανον ἐνεταφιάσθη εἰς τὴν Ἡράκλειαν.

Ταῖς αὐτῆς ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

---

## ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

### Εἰς τὴν Ἁγίαν τοῦ Χριστοῦ Παρθενομάρτυρα Γλυκερίαν τὴν Μυροβλύτιδα ὑπὸ Γερασίμου.

Μετὰ τὸ εὐλογητόν, τὸ Κύριε εἰσάκουσον, τὸ Θεὸς Κύριος (4) καὶ τὸ ἑπόμενον.

Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἐν τῷ λειμῶνι τῶν κλεινῶν ἀθληφόρων, καθάπερ ῥόδον ἐξανθήσασα θεῖον, τὴν τῆς ἀπάτης δυσωδίαν ἤλασας· ὅθεν δυσωποῦμέν σε, πολυτρόπων κινδύνων, καὶ φθορᾶς καὶ θλίψεως καὶ παθῶν ἐπηρείας, ὦ Γλυκερία, λύτρωσαι ἡμᾶς, τοὺς καταφεύγοντας πίστει τῇ σκέπῃ σου.

Δόξα, τὸ αὐτό. Καὶ νῦν Θεοτοκίον.

Οὐ σιωπήσωμεν ποτὲ Θεοτόκε . . .

Εἶτα ὁ Ν' καὶ ὁ κανὼν οὗ ἡ ἀκροστιχίς.

Φύλαττε ἡμᾶς εὐχαῖς σου καλλιμάρτυς.

Ὠδὴ α'. Ἦχος πλ. δ. Ὑγρὰν διοδεύσας.

Φωτὸς ἀκηράτου μαρμαρυγαῖς, καὶ ταῖς λαμπηδόσι λαμπομένη ταῖς θεϊκαῖς, ἐκ σκότους παθῶν με, Γλυκερία, πρὸς ἀπαθείας ἡμέραν κυβέρνησον.

Ὑπῆλθες φρονήματι εὐσταθεῖ μαρτύρων τοὺς πόνους, καὶ κουφίζεις διαπαντὸς τοὺς πόνους ψυχῶν καὶ τῶν σωμάτων, τῶν ἀδιστάκτῳ καρδίᾳ τιμώντων σε.

www.tezaurliturgic.ro


Λεόντων τοῖς μύλοις τῶν νοητῶν συνθλάσασα σθένει, Γλυκερία, θεουργικῷ, συντρίβεις δαιμόνων τὰς ἐπάρσεις καὶ τῶν παθῶν κατευνάζεις τὰς λαίλαπας.

Θεοτοκίον

Αγία Παρθένε, ἡ τὸν Χριστὸν τὸν ἅγιον ὄντα τῶν ἁγίων ὑπερφυῶς τεκοῦσα, ἁγίασον τὸν νοῦν μου καὶ τὴν ῥυπώδη ψυχήν μου ἐκκάθαρον.

*Ὠδὴ γ'. Οὐρανίας ἀψῖδος.*

Τοῦ Σωτῆρος τὰ πάθη ὡς φωταυγιὲς ἔνδυμα ἀναδησαμένη, Παρθένε, ἐναπεγύμνωσας τῆς ἀθεότητος τὰς πονηρὰς μηχανίας καὶ πιστοὺς ἐνέδυσας ὅπλα τῆς πίστεως.

Ταῖς τῶν λίθων βολίσι, τὰ τῶν ἐχθρῶν πρόσωπα καὶ τὰς πωρωθείσας καρδίας κατασυντρίψασα, ὦ καλλιπάρθενε, τὴν σαλευθεῖσαν ψυχήν μου τῆς ζωῆς ἐνίδρυσον τῇ πέτρᾳ, δέομαι.

Εὐφροσύνης πορφύραν, ἐκ τῶν ἁγνῶν λύθρων σου, Μάρτυς, στολισθεῖσα ὡραίως Χριστῷ παρέστηκας, ὃν καθικέτευε ἁμαρτιῶν μου τὰ πλήθη παραβλέψαι, δέομαι καὶ οἰκτειρῆσαι με.

Θεοτοκίον

Η ἀρρήτως τὸν Κτίστην τὸν τοῦ παντὸς τέξασα, καὶ τὰς τῶν Ἀγγέλων χορείας ὑπερνικήσασα τῇ καθαρότητι, τὴν ῥυπαράν μου καρδίαν κάθαρον, Πανάμωμε, τῇ ἐπιλάμψει σου.

Διάσωζε ἀπὸ παντοίων κινδύνων τοὺς σοὺς ἱκέτας, ὅτι πάντες ὑπὸ τὴν τὴν σκέπην τὴν σὴν καταφεύγομεν, τὰς ἀριστείας σου μέλποντες, Γλυκερία.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, Πανύμνητε.

*Αἴτησις παρὰ τοῦ ἱερέως καὶ τὸ κάθισμα.*

*Ἦχος δ'. Πρεσβεία θερμή*

Εὐσπλάγχνως ἡμῶν τὰ τῆς ψυχῆς συντρίμματα καὶ ἕλκη δεινὰ τοῦ σώματος θεραπεύσας, μάρτυς καλλιπάρθενε, ταῖς τῶν μύρων σου θείαις πιότησι· σὺ γὰρ ποθοῦσα τὸ μῦρον τῆς ζωῆς ἐν μύροις καὶ θαύμασι δεδόξασαι.

www.tezaurliturgic.ro


Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Μολυσμοῖς συμφυρόμενος τοῖς ἀλόγοις κτήνεσι καθωμοίωμα, Γλυκερία καλλιπάρθενε, σὺ πρὸς μετανοίας ὁδοὺς με ἴθυνον.

Ἀρωμάτων τὰ ρεύματα ἐξ ἀβύσσου θείας μάρτυς πηγάζοντα, τῷ σῷ τάφῳ πελαγίζουσι καὶ τῶν ἰαμάτων μύρα βλυστάνουσι.

Σωφροσύνης τὴν ἔλλαμψιν, μάρτυς, ἐξανέτειλον τῇ καρδίᾳ μου, ὡς ἂν βίου καθαρότητα πίστει προσαγάγω τῷ σὲ δοξάσαντι.

Θεοτοκίον

Εἰς ὀσμὴν μύρων ἔδραμεν τοῦ υἱοῦ σου κόρη ἡ καλλιπάρθενος, παρθενίᾳ διαλάμπουσα, Κεχαριτωμένη, ἡ σὲ ποθήσασα.

Ὠδὴ ε'. Ἵνα τί μὲ ἀπώσω;

Ὑψηλὸν κεκτημένη λογισμὸν οὐκ ἔνειμας σέβας τοῖς κτίσμασι τὸν τῶν Κτίστην ὁλοψύχως ποθοῦσα καὶ στέργουσα· ὅθεν δυσωπῶ σε, καμοῦ τὸν νοῦν ἐκ τῶν γηΐνων πρὸς ζωῆς θεωρίας ἀνύψωσον.

Χερσὶ θείου Ἀγγέλου ἐν φρουρᾷ ὡς ἄμωμος ἐτρέφου πάνσεμνε· θείᾳ γὰρ ἀθλήσει ὑπερέβης τοὺς ὅρους τῆς φύσεως· ὅθεν, τὴν ψυχήν μου θρέψον νοήμασιν ἀρίστοις καὶ τῆς ὕλης τὸν νοῦν μου ἀνύψωσον.

Ἀληθείας εἰδότες ψεύδους οἱ συνήγοροι θείαν σε σάλπιγγα, ποινὰς καὶ κολάσεις κατὰ σοῦ δολερῶς ἀνετείνοντο· ὅθεν, ταῖς λιταῖς σου ἐκ τῶν ποινῶν τῶν αἰωνίων, καὶ μελλούσης με ῥῦσαι κολάσεως.

Θεοτοκίον

Ἱλασμὸν τῶν πταισμάτων τοῖς ἡμαρτηκόσι σοι παράσχου Κύριε, τῆς Ἀειπαρθένου καὶ Παναγίου μητρός σου δεήσεσι καὶ ταῖς ἱκεσίαις τῆς ἀθληφόρου Γλυκερίας, τῆς θερμῶς ζηλωσάσης τὸ πάθος Σου.

Ὠδὴ στ'. Τὴν δέησιν.

Συνόμιλος τῶν Ἀγγέλων γέγονας τὸν ἰσάγγελον ποθήσασα βίον, καὶ ἀσθενείᾳ σαρκὸς καθελοῦσα τὸν τὴν κακίαν ἡμῖν γεωργήσαντα, οὗ τῆς ἀπάτης ἀβλαβεῖς καὶ ἡμᾶς, Γλυκερία, διάσωζε.

Στροβούμενοι τῶν τοῖς κάμασιν ὡς εἰς εὔδιον λιμένα, θεόφρον, τῷ ἱερῷ σου καὶ θείῳ τεμένει ἐν κατανύξει θερμῇ καταφεύγομεν, δεόμενοι ἐπιτυχεῖν τῆς ἐνθέου γαλήνης καὶ χάριτος.

www.tezaurliturgic.ro


Ο τάφος σου ἀνεδείχθη, πάνσεμνε, ὡς Ἐδὲμ τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ τῶν ἰαμάτων πηγάζων τὴν δρόσον, καὶ τὰ τῶν μύρων, Παρθένε, ὁρμήματα, δι' ὧν ξηραίνεται βυθὸς τῶν παθῶν καὶ τῶν νόσων ὁ βόρβορος.

Θεοτοκίον

Υπήρεισε τοῦ Θεοῦ ἡ σοφία ἑπτὰ στύλοις τὸν αὐτῆς θεῖον οἶκον, τὴν ἐκλεκτὴν ἐξ αἰῶνος Παρθένον, καὶ ἐξ αὐτῆς τοῖς ἐν γῇ ἐπεδήμησε καὶ ἔσωσε τοὺς ἐξ Ἀδὰμ διὰ πάθους σαρκός, ὡς ἠθέλησε.

Διάσωζε ἀπὸ παντοίων κινδύνων τοὺς σοὺς ἱκέτας, ὅτι πάντες ὑπὸ τὴν σκέπην τὴν σὴν καταφεύγομεν, τὰς ἀριστείας σου μέλποντες, Γλυκερία,

Ἄχραντε ἡ διὰ λόγον τὸν...

Αἴτησις παρὰ τοῦ Ἱερέως ὡς προδεδήλωται

καὶ τὸ Κοντάκιον

Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.

Παρθενίας ταῖς μαρμαρυγαῖς διαλάμπουσα, ταῖς τοῦ μαρτυρίου λαμπρότησιν ἤστραψας καὶ διέλυσας, σεμνή, ἀθεΐας τὴν ἀχλύν, καὶ νοημάτων σκοτασμὸν ἀποδιώκεις ἐσαεὶ ἐκ τῶν πίστει βοώντων σοι, θλίψεων ἐκ παντοίων, νόσων ἐξ ἀνηκέστων ἀπολύτρωσαι ἡμᾶς, Γλυκερία, τοὺς τιμῶντας σε

Καὶ εὐθὺς τὸ προκείμενον.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Στιχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου...

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Μάρκον.

Τῷ καιρῷ ἐκείνῳ ἠκολούθει τῷ Ἰησοῦ ὄχλος πολὺς καὶ συνέθλιβον αὐτόν. Καὶ γυνή τις, οὖσα ἐν ῥύσει αἵματος ἔτη δώδεκα, καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν καὶ δαπανήσασα τὰ παρ' ἑαυτῆς πάντα, καὶ μηδὲν ὠφεληθεῖσα, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα, ἀκούσασα περὶ τοῦ Ἰησοῦ ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν, ἥψατο τῶν ἱματίων αὐτοῦ. ἔλεγε γάρ. Ὅτι κἂν τῶν ἱματίων αὐτοῦ ἅψωμαι σωθήσομαι. Καὶ εὐθέως ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς καὶ ἔγνω τῷ σώματι ὅτι ἴαται ἀπὸ τῆς μάστιγος. Καὶ εὐθέως

www.tezaurliturgic.ro


ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ ἔλεγε. Τίς μου ἥψατο τῶν ἱματίων; Καὶ ἔλεγον αὐτῷ οἱ Μαθηταὶ αὐτοῦ, βλέπεις τὸν ὄχλον συνθλίβοντά σε, καὶ λέγεις τίς μου ἥψατο. Καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν. Ἡ δὲ γυνὴ φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέγονεν ἐπ᾽ αὐτῇ ἦλθε καὶ προσέπεσεν αὐτῷ καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν. Ὁ δὲ εἶπεν αὐτῇ θύγατερ, ἡ πίστις σου σέσωκέ σε· ὕπαγε εἰς εἰρήνην καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου.

Δόξα, ταῖς τῆς ἀθληφόρου.

Καὶ νῦν, ταῖς τῆς Θεοτόκου.

Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Ὥσπερ βότρυς πέπειρος τῆς ζωηφόρου ἀμπέλου τοῖς λινοῖς τῶν ἄθλων σου συνθλιβεῖσα, ἔνδοξε, θείῳ ἔρωτι, ἅπασιν ἔβλυσας γλεῦκος ἰαμάτων καὶ τῶν μύρων τὴν χρηστότητα ὡς νέκταρ ἄϋλον καὶ μέλι ἐκ πέτρας ἀκήρατον καὶ μάννα τὸ θεόβρυτον εἰς ψυχῶν πολλῶν ἀνακαίνησιν· ὅθεν, Γλυκερία, τὰς τούτων ἐνεργείας δαψιλῶς ἐν τῇ ψυχῇ μου ἀπόσταξον, ἵνα μεγαλύνω σε.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Κοσμικῶν ἐκ σκανδάλων, καὶ πικρῶν ἀλγηδόνων θᾶττον ἀπάλλαξον, τοὺς πίστει προσιόντας τῷ θείῳ σου τεμένει, καὶ συμφώνως κραυγάζοντας· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ἀθλήσεως τῷ φέγγει, τῷ Ἡλίῳ τῆς δόξης, σεμνή, ὀρθρίσασα, φωτὶ ἀθασίας ἡμῶν τὰς διανοίας καταυγάζεις, τοῦ κράζειν σοι· χαῖρε λαμπὰς νοητή, τῆς θείας φωταυγείας.

Λοιμικῆς ἀσθενείας, καὶ δαιμόνων μανίας καὶ πάσης ἄλλης πληγῆς διάσωζε ἀτρώτους, θεόφρον Γλυκερία, τοὺς ἐν πίστει κραυγάζοντας· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητός εἶ.

Θεοτοκίον

Λυτρωθέντες, Παρθένε, τῆς ἀρχαίας κατάρας τῷ θείῳ τόκῳ σου, ὑμνοῦμεν εὐχαρίστως τὸν Κύριον τῆς δόξης, τὸν καινουργήσαντα τὴν συντριβεῖσαν ἡμῶν οὐσίαν τῇ ἀπάτῃ.

www.tezaurliturgic.ro


Ὠδὴ η'. Τὸν Βασιλέα.

Ἰσχὺν ὑψόθεν τοῖς ἀσθενέσι βραβεύεις, καὶ τὰ πνεύματα τοῦ σκότους φυγαδεύεις, ταῖς σαῖς ἱκεσίαις, θεόφρον Γλυκερία (δίς).

Μὴ διαλίπῃς χειραγωγοῦσα, παμμάκαρ, καὶ ἰθύνουσα πρὸς τρίβους σωτηρίας τοὺς ὑπερυψοῦντας τὸν σὲ ἐνισχυκότα.

Θεοτοκίον

Ἅπασα τάξις ἀγγελικὴ καὶ βροτεία μεγαλύνει σου τὰ θεῖα μεγαλεῖα, καὶ ἀνευφημεῖ σε ὡς τοῦ Θεοῦ μητέρα.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον.

Ῥημάτων θεσφθόγγων τοῖς ὄμβροις πιανθεῖσα, ὥσπερ ἐλαία, θεόφρον, κατάκαρπος τῶν χαρισμάτων βλυστάνεις τὴν ἱλαρότητα.

Τοῖς μύροις σου, Παρθένε, ψυχῆς μου τὸ δυσῶδες καὶ τὰ τοῦ σώματος ἕλκη ἀπόσμηξον, καὶ εὐωδίαν τοῦ Λόγου δεῖξόν μοι, δέομαι.

Ὑφάψασά μοι φλόγα τῆς τοῦ Θεοῦ ἀγάπης πρὸς ἐντολῶν ἐργασίαν με τὸν ἀμελῶς διακείμενον, καλλιπάρθενε.

Θεοτοκίον

Συνεῖναι με, Παρθένε, τοῖς τοῦ Υἱοῦ σου φίλοις, εἰς τὸν αἰῶνα ἀξίωσον δέομαι, εἰ καὶ τὸ αἴτημα μέγα, ἀλλά σοι πέφευγα.

Ἄξιον ἐστί, καὶ τὰ μεγαλυνάρια.

Χαίροις τῶν Παρθένων ἡ καλλονή, καὶ τῶν ἀθληφόρων ἐγκαλλώπισμα ἱερόν, χαίροις ἡ τὸν Λόγον ποθήσασα ἐκ βρέφους, ᾧ ἔστης, Γλυκερία, ὡς νύμφη ἄμωμος.

Ἐν σταδίῳ ὥρμησας ἀνδρικῶς καὶ διαπρυσίως ὡμολόγησας τὸν Χριστὸν ἔναντι τυράννων, σεμνή, καὶ βασιλέων καὶ ἔλλαμψας τῷ κόσμῳ μαρτύρων αἵμασι.

Αἰκίας ὑπέστης ὀδυνηράς, καὶ δυσφορωτάτους καθυπέμεινας σπαραγμοὺς καὶ θηρός, Παρθένε, τῷ δήγματι ἐπήρθης, πρὸς δόξαν ἀδιάδοχον τοῦ Νυμφίου σου.

Ταῖς τῆς παρθενίας καταστολαῖς κατεστολισμένη ἐρραντίσθης μαρτυρικῶς αἵματι οἰκείῳ, καὶ κόσμῳ ἐπομβρίζεις, θεόφρον Γλυκερία, θαυμάτων χάριτας.

www.tezaurliturgic.ro



Χαίροις Ἐκκλησίας μύρον τερπνὸν καὶ ρόδον εὐῶδες καὶ ὡραία φυταλιά, χαίροις ἡ φρονίμη παρθένος, ἡ συνοῦσα ἐν νοητῷ νυμφῶνι Ἀγγέλων τάγμασι.

Νόσων πολυτρόπων καὶ πειρασμῶν ἐκλύτρωσαν πάντας τοὺς ἐν πίστει εἰλικρινῶς ἀνυμνολογοῦντάς σε, μάρτυς Γλυκερία, καὶ τῷ Θεῷ οἰκείωσαι μεσιτείαις σου.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί...

Τό τρισάγιον, τὰ συνήθη τροπάρια, ἐκτενὴς καὶ ἀπόλυσις. μεθ' ἣν ψάλλομεν τὸ ἑπόμενον.

Ἦχος β'. Πάντων προστατεύεις ἀγαθή.

Κλέος ἀπηνέγκω ἱερόν, ἁπαλῷ ἐν σώματι, μάρτυς, καταπαλαίσασα τὴν ἰσχὺν τοῦ δράκοντος καὶ ἀριστεύσασα ἱεροῖς ἀγωνίσμασι· διό, τοὺς σοὺς δούλους, πάσης περιστάσεως καὶ χαλεπῶν συμφορῶν, νόσων καὶ πικρῶν ἀλγηδόνων ῥῦσαι, Γλυκερία θεόφρον, καὶ χαρᾶς τῆς θείας καταξίωσον.

Δέσποινα πρόσδεξαι.
Τὴν πᾶσαν ἐλπίδα μου.
Τῇ πρεσβείᾳ Κύριε, πάντων τῶν Ἁγίων.

Δίστιχον

Πλῆσόν με χαρᾶς παμμάκαρ Γλυκερία
τὸν ἱκετικῶς τὴν σὴν σκέπην αἰτοῦντα.

www.tezaurliturgic.ro

# ΟΙΚΟΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ

## Εἰς τὴν Ἁγίαν τοῦ Χριστοῦ

## Παρθενομάρτυρα Γλυκερίαν τὴν Μυροβλύτιδα

### Ποίημα Γερασίμου Μικραγιαννανίτου

Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ Ὑπερμάχῳ...

**Τ**ῆς παρθενίας τὸν λειμῶνα τὸν μυρίπνοον, ἐξ οὗ χαρίτων τὰς ἀρετὰς ἐπικαρπούμεθα, τὴν θεόφρονα τιμήσωμεν Γλυκερίαν. Νυμφευθεῖσα τῷ Χριστῷ γὰρ δι' ἀθλήσεως, διασώζει ἀπὸ πάσης περιστάσεως, τοὺς κραυγάζοντας, χαῖροις μάρτυς πολύαθλε.

**Ἄ**γγελος, ἐν ἀθλήσει ὁραθεῖσα τὴν φύσιν παρεῖδες τὴν φθαρτὴν Γλυκερίαν καὶ σὺν τῇ ἀθανάτῳ στολῇ τῆς ἀφθαρσίας τὸν νυμφῶνα κεκλήρωσαι, διασώζουσα κινδύνων τοὺς βοῶντας σοι τοιαῦτα.

Χαῖρε δι' ἧς ἡ φθορὰ ἡττᾶται
Χαῖρε ἐν ᾗ ἡ χαρὰ ὁρᾶται
Χαῖρε τῆς φθαρείσης φυτείας ἀνάδυσις
Χαῖρε τῆς ζωούσης ἀρδείας ἀνάβλυσις
Χαῖρε ὕψος ἀγαπήσεως τοῦ τῶν ὅλων Ποιητοῦ
Χαῖρε βάθος τῆς ἀθλήσεως καθ' ὑψώματος ἐχθροῦ
Χαῖρε ὅτι ὑπάρχεις παρθενίας δοχεῖον
Χαῖρε ὅτι ἐφάνης μαρτυρίας πυξίον
Χαῖρε λαμπὰς ἀΰλου θεώσεως
Χαῖρε ἀμνὰς ἐνθέου νεκρώσεως
Χαῖρε δι' ἧς ἡ κακία μειοῦται
Χαῖρε δι' ἧς ἡ σοφία ὑψοῦται
Χαίροις μάρτυς πολύαθλε.

**Β**λέπουσα ἡ ἁγία τοῦ κριτοῦ τὴν μωρίαν ἐβόα πρὸς αὐτὸν παρρησίᾳ, τὸ παρα-

www.tezaurliturgic.ro


φορόν σου τοῦ νοός, ἀπρόσιτόν μου τῇ ψυχῇ ἔσεται, θεοῖς γὰρ ἀψύχοις τίς θύει; ἀλλ' ἢ ὁ μὴ κραυγάζων.
Ἀλληλούϊα.

Γνώσει τῆς ἀληθείας ἤρδευσας τὴν φυτείαν τοῦ Λόγου, ὦ σεμνὴ Γλυκερία. Τίς ὁ λαλῶν ἐν σοί; ἀλλ' ἢ ὁ τὸ ἀσθενὲς περιζωννύων δύναμιν, δι' ἧς αὐτομολοῦσα πρὸς αἰκισμοὺς ἀκούεις.

Χαῖρε τὸ στέφος τῶν Νεανίδων
Χαῖρε τὸ σκεῦος τῶν ἀπορρήτων
Χαῖρε τῆς ἀκτίστου ῥοπῆς τὸ θησαύρισμα
Χαῖρε τῆς ἐνύλου ἰσχύος ἡ ἀπώλεια
Χαῖρε λόγον ἡ βλυστάνουσα ἐκ χειλέων τῆς ζωῆς
Χαῖρε ὕδωρ ἡ πηγάζουσα ἐκ καρδίας τῆς τρυφῆς
Χαῖρε ὅτι ἀπώσω φθειρομένων τὸ κάλλος
Χαῖρε ὅτι ἐδέξω τὸ ἀθάνατον κράτος
Χαῖρε χαρᾶς τυποῦσα τὴν ἔλλαμψιν
Χαῖρε φθορᾶς μειοῦσα τὴν ἔκλυσιν
Χαῖρε στοργῆς ἀειζώου ἀκρότης.
Χαῖρε σκηνῆς ἀειζώου φαιδρότης
Χαίροις μάρτυς πολύαθλε.

Δόξαν διηγουμένη τοῦ πᾶσαν τὴν οἰκουμένην λαμπρύνοντος τῆς δόξης τῷ φέγγει, ἐπέστης τῷ ἀδίκῳ κριτῇ, καὶ τούτου συνέτριψας σεβάσματα, τὰς ἀριστείας σου προγραφοῦσα καὶ ψάλλουσα.
Ἀλληλούϊα.

Ἐκ τριχῶν κρεμασθεῖσα καὶ τὰς σάρκας ξεσθεῖσα, τὴν ὕλην ἀπεβάλου αὐτίκα, διάχρυσον δὲ ἱματισμὸν δαυϊτικῶς περιθεμένη δεδόξασαι, δοξάζουσα, Γλυκερία, τοὺς βοῶντάς σοι τοιαῦτα.

Χαῖρε ὁ ἄκμων τῆς καρτερίας
Χαῖρε ὁ λίθος τῆς βασιλείας.
Χαῖρε τῶν ῥεόντων τοὺς ὅρους νικήσασα.
Χαῖρε τῶν μελλόντων τὴν αἴγλην ἑλκύσασα.
Χαῖρε ὕλης ἀποξέσασα ἁλουργίδα ἱεράν.
Χαῖρε νίκης ἐξυφάνασα τὰς ἰδέας τῆς φθορᾶς.
Χαῖρε ὅτι τὰς σάρκας ἀπηνῶς κατεξάνθης
Χαῖρε ὅτι ἐν πόνοις ἱερῶς ἐδοξάσθης
Χαῖρε Σταυροῦ πλουτοῦσα ἐνέργειαν
Χαῖρε ἐχθροῦ τροποῦσα δυσμένειαν
Χαῖρε ποινῶν ἐνεργοῦσα τὸ ἄχθος

www.tezaurliturgic.ro


Χαῖρε Χριστοῦ ἀπανθοῦσα τὸ πάθος
Χαίροις μάρτυς πολύαθλε.

Ζωῆς ἐν τῷ θεμελίῳ τῆς ψυχῆς τὸν οἶκον ἱδρύσασα ἀθλήσεως πλοῦτον, συνήθροισας καρτερίαν αἰκισμῶν καὶ τοῖς κλονοιμένοις τῇ πίστει προτέθεικας ἐμμελῶς ἱκετεύουσα καὶ ψάλλουσα Θεῷ.
Ἀλληλούϊα

Ἡ φρουρὰ ᾗ καθείρχθης ὡς νυμφὼν ἐλογίσθη σοὶ τῇ μνηστευθείσῃ τῷ Κτίστῃ, ἐν ᾗ ἐνορῶσα τὸ κάλλος τοῦ Ἰησοῦ ἀγγελικῇ διακονίᾳ ἐκτρέφου ὡς ἄμωμος, λόγῳ τρέφουσα τοὺς σοὶ βοῶντας.

Χαῖρε τὸ κλῆμα τῆς παρθενίας
Χαῖρε τό λῆμμα τῆς εὐσεβείας
Χαῖρε χαρακτήρων φωτὸς ἐνδιαίτημα
Χαῖρε ζωηφόρων ἰχνῶν ἀφομοίωμα
Χαῖρε ὅτι ὡς ἀνάκτορον ᾤκησας ἐν τῇ εἱρκτῇ
Χαῖρε ὅτι ἐμεγάλυνας τὴν Τριάδα ἐν αὐτῇ
Χαῖρε ἡ θεωρίας οὐρανίου πλησθεῖσα
Χαῖρε ἡ συναφείας ἐπιγείου λυθεῖσα
Χαῖρε τροφῆς Ἀγγέλων μεθέξασα
Χαῖρε Χριστόν σὺν τούτοις αἰνέσασα.
Χαῖρε κοινῆς γεωργίας τὸ ἔρνος
Χαῖρε λαμπρᾶς θεαυγείας τὸ φέγγος
Χαίροις μάρτυς πολύαθλε

Θεοσδότῳ ἑνώσει τεθηλυῖα ὡς ἔρπηξ συνέσχεις κριτὴν ἐν στενώσει· ὃς μὴ γνοὺς τὸ τελεσθὲν ἐν εἱρκτῇ, νέων βραβείων σοι τὰς πύλας ὑπανέωγεν, ἐν αἷς εἰσειχυῖα νικητικῶς ἔψαλλες.
Ἀλληλούϊα.

Ἱερῶς φλεγομένη δροσοβόλῳ μεθέξει πυρὸς κατατολμοῦσα ὠράθης, ἐν γὰρ καμίνῳ πυρικαύστῳ ῥιφεῖσα δρόσῳ θεϊκῇ ἄφλεκτος διέμεινας, φλογίζουσα τὰς φρένας τῶν μὴ βοώντων τοιαῦτα.

Χαῖρε πυρὸς ἡ ἀκμαιοτέρα
Χαῖρε φλογὸς ἡ εὐτονωτέρα
Χαῖρε ἡ τῆς πλάνης τοὺς μύστας ἐλέγξασα
Χαῖρε τῆς Τριάδος τὴν δόξαν ἐνέγκασα
Χαῖρε δρόσος τῆς ἀθλήσεως ἡ δροσίζουσα πιστοὺς
Χαῖρε φλὸξ ἡ καταφλέγουσα τῆς ἀπάτης τοὺς δεσμοὺς
Χαῖρε ὅτι καμίνῳ πυριφλέκτῳ ἐρρίφθης
Χαῖρε ὅτι οὐδόλως ἐν αὐτῇ κατεφλέχθης

www.tezaurliturgic.ro


Χαῖρε πυρὸς τῆς πλάνης σβεστήριον
Χαῖρε φωτὸς τοῦ θείου κειμήλιον
Χαῖρε πιστῶν τηλαυγέστατος στῦλος
Χαῖρε ἐχθρῶν φλογερότατος μύδρος
Χαίροις μάρτυς πολύαθλε.

Κόρρην δειροτομηθεῖσα μάρτυς καὶ δεσμευθεῖσα κάλλους μετέσχες ἀθανασίας. Ἀγγελικοῖς γὰρ διακονουμένη χερσί, δεσμῶν κα- ἀλγημάτων θεουργικῶς ἀπολέλυσαι βοῶσα, Γλυκερία, τὸ

Ἀλληλούϊα

**Λ**άμψασα ἐν ἀθλήσει, θαύμασιν ὑπὲρ φύσιν ἐδόξασας λαμπρῶς τὸν σὸν Κτίστην, τοῖς ἐν σοὶ γὰρ παντουργικαῖς μαρμαρυγαῖς Λαοδίκιος τῷ οἰκοῦντι φῶς ἀπρόσιτον προσάγεται, ἐκβοῶν πρὸς σὲ τοιαῦτα.

Χαῖρε ἀνόρθωσις πεπτωκότων
Χαῖρε κατάπτωσις μεμηνότων
Χαῖρε τοῦ Ἡλίου τῆς δόξης ἀμάρυγμα
Χαῖρε τοῦ Λιβάνου ἡ θεία διάπνοια
Χαῖρε βάθους ἡ ἐξάρασα πλάνης με ἀθλητικῶς
Χαῖρε ὕψους ᾧ ἐνίδρυμαι ἐν Χριστῷ ὑπογραμμὸς
Χαῖρε ὅτι βασάνοις ἀνηκέστοις ἐβλήθης
Χαῖρε ὅτι τῶν πόνων δι᾿ Ἀγγέλου ἐρρύσθης
Χαῖρε γερῶν ἐμῶν ἡ παραίτιος
Χαῖρε νοῶν ἀΰλων συνέστιος
Χαῖρε τερπνὴ λαμπηδὼν εὐσεβείας
Χαῖρε καρπὸς ζωτικῆς εὐθηνίας.
Χαίροις μάρτυς πολύαθλε.

**Μ**έλεσι ταῖς αἰκίαις ἔδειξας ἐναντίοις τὴν δόξαν, ἣ δέδοται τοῖς Ἁγίοις· ἐν ᾗ τὸ ἀσθενὲς τῆς σαρκὸς ἀμειβομένη τὸν Βελίαρ κατέβαλες, καὶ ἧς ἐπεπτώκει ἐπέβης λήξεως ᾄδουσα.

Ἀλληλούϊα.

**Ν**όμῳ θεοσθενείας, μάρτυς, δι᾿ ἀσθενείας μολοῦσα κατὰ πόνων εὐκλείας, θηρῶν οὐκ ἔπτηξας τὴν ὁρμήν, ὧν τῷ δήγματι τὴν ἀφθαρσίαν ἠμφίεσαι, ἧς λαμπομένη τῇ μετοχῇ σκέπεις τοὺς βοῶντας.

Χαῖρε παρθένων ἡ ὡραιότης
Χαῖρε μαρτύρων ἡ κοσμιότης
Χαῖρε παθημάτων τοῦ Λόγου ἡ σύμφυτος
Χαῖρε χαρισμάτων τῶν τούτου ἡ σύγκλητος

www.tezaurliturgic.ro


Χαῖρε γλεῦκος τὸ γλυκύτατον τῆς ἀμπέλου τῆς ζωῆς
Χαῖρε νέκταρ τὸ ἡδύτερον τοῦ χειμάρρου τῆς τρυφῆς
Χαῖρε ὅτι ἐδήχθης τῶν θηρῶν τοῖς ὀδοῦσι
Χαῖρε ὅτι ὑψώθης ἱερῶς ἐν ἀγῶσι
Χαῖρε κανὼν τῆς θείας ἀθλήσεως
Χαῖρε εἰκὼν ἀΰλου φρονήσεως
Χαῖρε στοργὴ τῶν ἐν σοὶ καυχωμένων
Χαῖρε στολὴ ἀπορρούντων καὶ ξένων
Χαίροις μάρτυς πολύαθλε.

**Ξ**ένον θαῦμα ὁρῶμεν, καὶ ὅλως οὐ συνορῶμεν τὸν τρόπον, διό, μάρτυς, τί φῶμεν; ὁ γὰρ ἐκ τάφου μύρον βρύει τοῦ σοῦ τῆς Ἐκκλησίας κατευφραίνει τὸ πρόσωπον· τίς οὖν ὁ ἐνεργῶν ἐν σοί; ἀλλ' ἢ ᾧ βοῶμεν.
Ἀλληλούϊα.

**Ὅ**λη ἡγιασμένη, ἀρωμάτων τῷ μένει ἐν κήπῳ τῆς ἀθλήσεως ἔστης καὶ τῷ ποιμαίνοντι ἐν κρίνοις, τῶν στιγμάτων τὰ ἄνθη ἐγεώργησας, ὃς εἰς ταμεῖον εἰσενεγκὼν σε, ἡμᾶς πείθει βοᾶν σοι.

Χαῖρε Χριστοῦ ἀκήρατος νύμφη
Χαῖρε πιστῶν ἀήττητος νίκη
Χαῖρε ἀρωμάτων τῶν θείων διάδοσις
Χαῖρε μοχθισμάτων τῶν χείρω διάλυσις
Χαῖρε εὔοσμον ὀσφράδιον τοῦ Σωτῆρος Ἰησοῦ
Χαῖρε εὔπνοον θυμίαμα Παραδείσου νοητοῦ
Χαῖρε ὅτι ἐχρίσθης τῆς θεώσεως μύρῳ
Χαῖρε ὅτι ὑψώθης μυροχεύμονι τόπῳ
Χαῖρε Ἐδὲμ μυρίπνουν ἀνάθημα
Χαῖρε ἡμῶν ἡδύπνουν διάδημα.
Χαῖρε ζωῆς εὐωδία ἀφθάρτου
Χαῖρε τροπὴ δυσωδίας γηΐνου
Χαίροις μάρτυς πολύαθλε.

**Π**οῦ ποιμαίνεις νυμφίε; οὗ ἐφίεμαι πίστει οὗ σφόδρα μετασχεῖν ἐρῶμαι; δεῖξον μοι τὴν ὄψιν σου, ἀκούτισόν μοι τὴν φωνήν σου, ὅτι πλήρης ἀγαθῶν ἐστί. Οὕτως ἐβόα ἐν ἀγῶσιν ἡ μάρτυς ᾄδουσα.
Ἀλληλούϊα.

**Ρ**εῖθρα τῶν σῶν αἱμάτων ὡς μύρα ἀγωνισμάτων ἐβόας προσάγουσα ζωῆς τῷ μύρῳ: εἰς ὀσμὴν μύρων ἔδραμον τῶν σῶν, ὅτι ὀσμὴ δώρων σου ὑπὲρ πάντα ἀρώματα, ὧν τῆς ὀσμῆς τρυφῶσα ἀκούεις.

Χαῖρε ἡ αὔρα μυροβλυσίας

www.tezaurliturgic.ro


Χαῖρε τὸ ἄνθος θεοδοσίας
Χαῖρε μυροφόρων ὀρέων ἀπόρροια
Χαῖρε θεορρύτων ὑδάτων ἀπόσταγμα
Χαῖρε κῆπος, ὃς ἐξήνθησε χαρισμάτων μυρισμὸν
Χαῖρε κρήνη, ἡ ἐξέβλυσε ἀρωμάτων σταλαγμὸν
Χαῖρε ὅτι ἐδείχθης μυροσκεύαστον κρᾶμα
Χαῖρε ὅτι βλυστάνεις ζωομύριστον νᾶμα
Χαῖρε ζωῆς ἀνθοῦσα ἡδύπνοιαν
Χαῖρε φυτῶν εὐπνόων ἀνέχουσα
Χαῖρε λειμὼν ἐαρινῶν φυάδων
Χαῖρε θημὼν ροδομιγῶν στιβάδων
Χαίροις μάρτυς πολύαθλε.

Σύ μου κράτος καὶ νίκη, ὦ γλυκεῖα εὐθύτης, ἐβόα ἡ μάρτυς τῷ Σωτῆρι· καρδιωθεῖσα γὰρ πόθῳ τῷ σῷ ἀπὸ λιβάνου φθεγγομένη ἤχω σοι· εἰσάγαγέ με εἰς οἶκον οἴνου ζωῆς σοι, ψάλλουσαν.

Ἀλληλούϊα.

Τίς αὕτη ἐξ ἐρήμου εἰς τὸν οἶκον Κυρίου ὡς στελέχη οἰκοῦσα ἀτμοῦ μύρου; ἡ τῆς Γλυκερίας ἐστὶ ψυχή, ἧς τὸ ἱμάτιον φρέαρ πλῆρες ζῶντος ὕδατος, ἐξ οὗ γλυκαινόμενοι ἐκβοῶμεν.

Χαῖρε φιάλη τῶν ἀρωμάτων
Χαῖρε δοχεῖον τῶν μυρευμάτων
Χαῖρε τῆς καρύας τοῦ κήπου ὁ ῥάδαμνος
Χαῖρε τῆς κασίας θεόφυτος κάλαμος
Χαῖρε σκηνὴ ἡ ροδανθείας γέμουσα μυρεψικῶν
Χαῖρε ἄγγος ὃ ἐμπέπλησται μύρων τῶν πνευματικῶν
Χαῖρε ὅτι ἐκπνέεις ἡδυσμὸν εὐφροσύνης
Χαῖρε ὅτι ἐκρέεις μύρον ἁγιωσύνης
Χαῖρε Συρίας εὔοσμον βάλσαμον
Χαῖρε ρανὶς ἀνθεμορρύτου μύρου
Χαῖρε ψεκὰς ἐξ Ἀερμὼν ἁγίου
Χαίροις μάρτυς πολύαθλε

Ὑπελθοῦσα ἀρίστως καινισμὸν τῶν Ἁγίων καὶ αἵματι λουσθεῖσα Μαρτύρων, εἰς δρόσον ἐξῆλθες ζωῆς, καὶ ἐπὶ ὄρη ἀρωμάτων ἐσκήνωσας, ὧν αἱ ἀποστολαὶ γλυκασμὸς μετὰ πρώτων μύρων, μέλπουσα.

Ἀλληλούϊα.

Φλέγει στίφη δαιμόνων ἡ ὀσμὴ τοῦ σοῦ μύρου, καὶ λύει τὴν φθορὰν ἀλγηδό-

www.tezaurliturgic.ro


νων, τὴν ζωοποιὸν γὰρ χάριν λαβών, διαπαντὸς ἐνεργεῖ τοῖς χριομένοις ἑκάστοτε, ἐν ᾧ εὐφραινόμενοι, ἐκβοῶμέν σοι.

Χαῖρε τὸ μῦρον τῆς Ἐκκλησίας
Χαῖρε τὸ κρίνον τῆς ἀφθαρσίας
Χαῖρε ἀνθηφόρος τοῦ Πνεύματος ἄρουρα
Χαῖρε δι᾽ ἧς τὴν πίστιν ἐγεώργησας
Χαῖρε νάρδον τὸ πυρίολβον ἀθανάτου μετοχῆς
Χαῖρε μέλι τὸ χεόμενον ἐκ τῆς πέτρας τῆς κοινῆς
Χαῖρε οἶνος ἀνθίτης ψυχικὴ ἀμβροσία
Χαῖρε σμύρνα εὐώδης καὶ στακτὴ καὶ κασία
Χαῖρε πολλῶν ῥόδων ἡ ἐκπίεσις
Χαῖρε τερπνῶν ναρκίσσων ἡ ἐπίχυσις
Χαῖρε ἱδρὼς μυροβόλων καμάτων
Χαῖρε σταγὼν μυροσταγῶν χαρισμάτων.
Χαίροις μάρτυς πολύαθλε.

Χάριν κέκτησαι θείαν πρὸς Χριστοῦ μακαρία, ᾧ ὡς προῖκα ἤγαγες σὰς ἀριστείας, ἐν πόλῳ μὲν λαμπρῶς θεουμένη, ἐν γῇ δὲ μυροχεόμενη δεικνυμένη πηγή, ὢ θαύματος! Ψάλλουσα Θεῷ.
Ἀλληλούϊα.

Ψάλλας σου τοὺς ἀγῶνας καὶ τῶν μύρων τὴν δόξαν χείλεσιν ἀκαθάρτοις ὁ τάλας, ρυσθείην τῆς τῶν παθῶν ἀποφορᾶς καὶ τῆς ζωτικῆς ὀσμῆς μεθαίξαιμι μαρτυρικῇ σου παρρησίᾳ τοῦ βοᾶν σοι καὶ αὖθις.

Χαῖρε πηγὴ δαψιλὴς θαυμάτων
Χαῖρε ῥοὴ ψυχικῶν ναμάτων
Χαῖρε μυροθήκη τῆς θείας χρηστότητος
Χαῖρε εὐπρεπείας τοῦ Λόγου συνόμιλος
Χαῖρε ὅτι μύρων ἔδραμες εἰς ὀσμὴν τῶν τοῦ Χριστοῦ
Χαῖρε ὅτι ῥεῖ πανεύοσμον μύρον τάφου ἐκ τοῦ σοῦ
Χαῖρε τῆς Ἐκκλησίας ἡ στηρέμνιος βάσις
Χαῖρε τῆς Ἡρακλείας ἡ μυροφεγγὴς φαῦσις
Χαῖρε δι᾽ ἧς φωτὸς πληρωθήσομαι
Χαῖρε ψυχῆς τῆς ἐμῆς εὐωδία
Χαῖρε νοὸς τοῦ ἐμοῦ θυμηδία
Χαίροις μάρτυς πολύαθλε.

Ὦ σεμνὴ ἀθληφόρε τῆς ζωῆς μυροδόχε, Χριστῷ ἡ παρεστῶσα, ἀλήκτως τὰς

www.tezaurliturgic.ro



ἡμῶν δεχομένη λιτάς, τῆς αἰωνίου λύτρωσαι κολάσεως θεολέκτοις λιταῖς σου, τοὺς ψάλλοντας τῷ τῶν ὅλων Θεῷ.

Ἀλληλούϊα.

Καὶ αὖθις τὸ Κοντάκιον

Τῇ Ὑπερμάχῳ

Τῆς παρθενίας τὸ μυρίπνοον ἀπάνθισμα, ἐξ οὗ χαρίτων τὰς ὀσμὰς ἐπικαρπούμεθα, τὴν θεόφρονα τιμήσωμεν Γλυκερίαν. Νυμφευθεῖσα τῷ Χριστῷ γάρ, δι' ἀθλήσεως, διασώζει ἀπὸ πάσης περιστάσεως, τοὺς κραυγάζοντας, χαίροις μάρτυς πολύαθλε.

Δίστιχον

Γλεύκους νοητοῦ Γλυκερία με πλῆσον
τὸν σοὶ βοῶντα Γεράσιμον τὸ χαῖρε.

ΤΕΛΟΣ ΤΩΝ ΟΙΚΩΝ

www.tezaurliturgic.ro



Τὴν καλλιπάρθενον Χριστοῦ τιμήσωμεν, τὴν ἀριστεύσασαν πόνοις ἀθλήσεως, καὶ καθελοῦσαν τὸν ἐχθρὸν ἐν ἀσθενείᾳ σώματος· πόθῳ γὰρ τοῦ Κτίσαντος τῶν βασάνων τὴν ἔφοδον ὡς οὐδὲν ἡγήσατο, καὶ θεόθεν δεδόξασται, πρὸς ἣν ἀναβοήσωμεν πάντες, χαίροις θεόφρον Γλυκερία.